Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: qmm-bo

*Γαληνὸς ὁ Περγαμηνός* · Galen of Pergamon

# To Glaucthe Method of Healing

*Πρὸς Γλαύκωνα περὶ τῆς μεθόδου θεραπείας*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

11 1 (t1) ΓΑΛΗΝΟΥ ΤΩΝ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΘΕΡΑΠΕΥΤΙΚΩΝ ΒΙΒΛΙΟΝ Α. Ὅτι μὲν οὐ τὴν κοινὴν μόνον ἁπάντων ἀνθρώπων φύσιν, ὦ Γλαύκων, ἐπίστασθαι χρὴ τὸν ἰατρὸν, ἀλλὰ καὶ τὴν ἰδίαν ἑκάστου, πάλαι τε πρὸς Ἱπποκράτους ὀρθῶς εἴρηται καὶ ἡμῖν δὲ ἐπ’ αὐτῶν, ὡς οἶσθα, τῶν ἔργων τῆς τέχνης ἱκανῶς ἐσπούδασται. οὐ μὴν γράφειν γε δυνατὸν, ὥσπερ τὴν κοινὴν, οὕτω καὶ τὴν ἰδίαν ἑκάστου, ἀλλ’ ὑπεναντίως ἔχει τὰ γράμματα πρὸς τὰς πράξεις, ἄλλοθί τε πολλαχόθι καὶ οὐχ ἥκιστα ἐν τοῖς νῦν ὑπ’ ἐμοῦ προκειμένοις. ἠξίωσας μὲν γὰρ ἡμᾶς, ἰαμάτων τινά σοι καθόλου μέθοδον ὑποτυπώσασθαι· περαίνεται δὲ αὕτη διά τε ποιότητος καὶ ποσότητος ἑκάστου τῶν βοηθημάτων καὶ τοῦ τρόπου τῆς χρήσεως αὐτῶν καὶ τοῦ πάντων τούτων χαλεπωτάτου διαγνωσθῆναι καιροῦ.

11 2 περὶ ὃν ὀξὺν ἱκανῶς ὄντα, καθάπερ που καὶ τοῦτό φησιν ὁ πάντων ἡμῖν τῶν καλῶν ἡγεμὼν Ἱπποκράτης, σφαλλομένους πολλάκις ὁρᾷς οὐ τοὺς τυχόντας μόνον, ἀλλὰ δὴ καὶ τοὺς ἀρίστους ἰατρούς. καὶ μὲν δὴ καὶ μέγα τὸ ποσὸν εὐστόχως συναρμοσθὲν εἰς δύναμιν ὁ αὐτὸς ἀνὴρ ἔγραψεν. ὅταν οὖν εἰς μὲν τὸ καλῶς ἰᾶσθαι μέγα συντελεῖν φαίνοιτο ὅ τε καιρὸς καὶ ἡ ποσότης τῶν βοηθημάτων, ἴδια δὲ ταῦτα καθ’ ἕκαστον τῶν νοσούντων εὑρήσεις καὶ μηδὲν ἴδιον ἑρμηνεύεσθαι δύναται τῷ λόγῳ, τὸ κοινὸν οὕτως ἀναγκαζόμεθα γράφειν, κᾂν τῇ χρείᾳ δεύτερον ᾖ. καὶ γὰρ οὖν καὶ ἐπισκοπούμεθά τινας ἀῤῥώστους πολλάκις, οἷς ἔμπροσθεν ὑγιαίνουσιν οὐκ ἐνετύχομεν· οὔκουν οὐδ’ ὅπως εἶχον χροιᾶς, ἢ σχέσεως, ἢ τῆς κατὰ φύσιν θερμασίας, ἢ τῆς τῶν ἀρτηριῶν γινώσκοντες, ἵν’ εἰδότες ἱκανοὶ κριταὶ γενοίμεθ’ ἄν ποτε τῶν νοσημάτων τοῦ μεγέθους.

11 3 εἰς ὅσον γὰρ ἐξίσταται τῆς φύσεως ἕκαστον, εἰς τοσοῦτον καὶ μεγέθους ἥκει. τὸ δ’ ὅσον ἐξίσταται, γνῶναι δυνατὸν μόνῳ τῷ τὸ κατὰ φύσιν ἀκριβῶς ἐπισταμένῳ. τοῦτ’ οὖν ἀγνοοῦντες ἐπ’ αὐτῶν, ἵνα μὴ παντάπασιν ἀπορῶμεν, ἐπὶ τὸ κοινὸν ἀφικνούμεθα. πλέον δέ τι κᾂν τούτῳ τῶν ἀτέχνων ὁ τεχνίτης ἔχει. καὶ τί τὸ πλέον; Ἱπποκράτης μὲν καὶ τοῦτο πρῶτος ἁπάντων ὧν ἴσμεν γέγραφεν. ὑπεμνήσαντο δὲ ἐπὶ πλέον τῶν μετ’ αὐτὸν ὅσοι τῶν ἐκείνου συνῆκαν γραμμάτων, ὧν εἷς ἦν καὶ Μνησίθεος ὁ Ἀθηναῖος, ἀνὴρ τά τε ἄλλα ἱκανὸς πάντα τὰ τῆς τέχνης καὶ εἰς ὅσον χρὴ μεθόδῳ τὴν ἰατρικὴν τέχνην ἀσκεῖν, οὐδενὸς ἐπιγνῶναι δεύτερος. οὗτος ὁ Μνησίθεος ἀπὸ τῶν πρώτων καὶ ἀνωτάτω γενῶν ἀρξάμενος ἀξιοῖ τέμνειν αὐτὰ κατ’ εἴδη τε καὶ γένη καὶ διαφοράς. εἶτ’ αὖθις τὰ τεμνόμενα τέμνειν ὁμοίως κᾀκεῖνα πάλιν ὡσαύτως, ἔστ’ ἂν ἐπί τι τοιοῦτον εἶδος ἀφικώμεθα μεθ’ ὃ τέμνοντες, ἀχρὶς οὗ τὸ τεμνόμενον, εἰς ἓν τῷ

ἀριθμῷ καὶ ἄτομον ἤδη τελευτήσομεν. ταῦτ’ ἀρκεῖ μοι πρός γέ σε διὰ βραχέων ἃ βούλομαι δεδηλῶσθαι. καὶ γὰρ ἂν εἴην γελοῖος, εἴ σε διδάσκοιμι τὰ σὰ ὥσπερ οὐχὶ παρὰ Πλάτωνος αὐτὰ πάλαι μεμαθηκότα.

11 4 οὐδὲ γὰρ ὥστε διδάξαι σέ τί πως περὶ τῆς κατὰ τὴν τοιαύτην διαίρεσιν μεθόδου τὴν ὑπόμνησιν ἐποιησάμην, ἀλλ’ ὅτι μοι πρὸς τὸν ἐφεξῆς λόγον ἅπαντα χρήσιμον αὐτὴν ἔσεσθαι νομίζω· καὶ τὴν αἰτίαν, ὧν ἑκάστοτε σφαλλομένους ὁρᾷς τοὺς πλείστους τῶν ἰατρῶν, ἀξιοῦντί σοι μαθεῖν οὐκ ἐνῆν ἄλλως ἐνδείξασθαι. καὶ γὰρ καὶ τὰ κατὰ τὰς ἄλλας αἱρέσεις σφάλματα καὶ ὅσα νῦν ἐπὶ τῶν νοσούντων οἱ πολλοὶ τῶν ἰατρῶν ἁμαρτάνουσι, πρώτην καὶ μεγίστην αἰτίαν ἔχει τὸ μοχθηρὸν τῆς διαιρέσεως. οἱ μὲν γὰρ ἐπὶ τῶν πρώτων καὶ ἀνωτάτω γενῶν μένουσιν, ἀρκούμενοι ταῖς ἀπὸ τούτων ἐνδείξεσιν· οἱ δὲ μέχρι μέν τινος ἔτεμον, οὐ μὴν πρός γε τὸ τέλος ἐξίκοντο· πολλοὶ δὲ καὶ μοχθηραῖς ἐχρήσαντο διαιρέσεσιν. ὅστις δὲ καὶ τὰ κατὰ φύσιν ἅπαντα καὶ τὰ παρὰ φύσιν εἰς τὴν τοιαύτην ἀνάγων μέθοδον, ἐξ ἁπάντων τούτων τῶν κατὰ τὴν διαίρεσιν ἀνενδεῆ λαμβάνοι τὴν ἔνδειξιν, μόνος ἂν οὗτος εἰς ἀνθρωπίνην δύναμιν ἀναμάρτητος εἴη περὶ τὰς ἰάσεις· καὶ τούς τε γινωσκομένους ἄμεινον τῶν ἄλλων ἰῷτο καὶ τοὺς ἀγνοουμένους εἰς ὅσον οἷόν τε καὶ τούτους ἐγγυτάτω τῶν γινωσκομένων.

11 5 εἰ γὰρ διορίσαιτό τις πρῶτον μὲν τὴν κατὰ τὰς ἡλικίας διαφορὰν, ἐφεξῆς δὲ τὴν κατὰ τὰς κράσεις καὶ τὰς δυνάμεις καὶ τἄλλα τὰ τοῖς ἀνθρώποις ὑπάρχοντα, χροιὰς λέγω καὶ θερμασίας καὶ σχέσεις καὶ σφυγμῶν κινήσεις καὶ ἔθη καὶ ἐπιτηδεύματα καὶ τὰ τῆς ψυχῆς ἤθη, προσθείη δὲ τούτοις καὶ τὴν ὡς ἄῤῥενος πρὸς θῆλυ διαφορὰν, ὅσα τε κατὰ τὰς χώρας καὶ τὰς ὥρας τοῦ ἔτους καὶ τὰς ἄλλας τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεις, ὡς χρὴ διορίσασθαι, πλησίον ἂν ἥκοι τῆς ἰδίας τοῦ κάμνοντος φύσεως. ἀλλὰ πάντων τούτων τὰ μὲν ἐν τοῖς περὶ σφυγμῶν, τὰ δὲ ἐν τοῖς περὶ κράσεων διώρισται· ὥσπερ γε καὶ τῶν παρὰ φύσιν ἁπάντων ὅσαι κατ’ εἴδη τε καὶ γένη διαφοραὶ τυγχάνουσιν οὖσαι, πάσας ἐν τῷ περὶ παθῶν διοριζόμεθα λόγῳ. νυνὶ δὲ ὁ μὲν λόγος ἡμῖν ἅπας ἔσται περὶ τῶν τοιούτων ἀῤῥώστων ὧν τὴν φύσιν ἀκριβῶς ἐπιστάμεθα πρὸ τῆς νόσου· συνεπινοηθήσονται δὲ αὐτοῖς καὶ οἱ λοιποὶ πάντες ὧν ἠγνοοῦμεν.

11 6 οὐδὲν γὰρ ἦν χαλεπὸν ἀπὸ τοῦ τελέως διωρισμένου καὶ τὸ μὴ τοιοῦτον ἐξευρίσκειν. Ἀρξώμεθα οὖν ἀπὸ τῶν πυρετῶν, ἐπειδὴ καὶ σὺ τῆς τούτων ἰάσεως μάλιστα ἠξίου σοι τὴν μέθοδον λεχθῆναι, καὶ πρῶτον εἴπωμεν περὶ τῶν ἁπλουστάτων, οὓς Ἱπποκράτης ἐφημέρους καλεῖ. οὗτοι δέ εἰσιν οἵ τε διὰ κόπους γινόμενοι καὶ μέθας καὶ ὀργὰς καὶ λύπας καὶ θυμοὺς καὶ τὰς ἄλλας φροντίδας τῆς ψυχῆς τὰς συντόνους. καὶ οἱ ἐπὶ βουβῶσι δὲ πυρετοὶ τούτου τοῦ γένους εἰσὶ, πλὴν εἰ μὴ χωρὶς ἕλκους φανεροῦ γένοιντο. τηνικαῦτα γὰρ ὕποπτοί τέ εἰσι καὶ οὐδαμῶς ἐπιεικεῖς. καὶ ἀγρυπνία δὲ πολλάκις ἤνεγκεν ἁπλοῦν πυρετὸν, ὥσπερ οὖν καὶ ψύξις ποτὲ καὶ ἔγκαυσις. οὗτοι πάντες οἱ πυρετοὶ ῥᾷστα λυθῆναι δύνανται· χρὴ γὰρ ἐπί τε λουτρὰ ταχέως ἄγειν αὐτοὺς καὶ τὴν ἄλλην τὴν συνήθη δίαιταν. ὡς ὅσοι γε τὴν πολυθρύλλητον διάτριτον ἐπὶ πάντων τῶν τοιούτων ἐκδέχονται, δριμυτέρους πολλάκις εἰργάσαντο τοὺς πυρετοὺς, καί τι καὶ ἄλλο προσεξαμαρτάνοντες, ὥσπερ οὖν ὁρᾷς τοὺς πολλοὺς αὐτῶν καθ’ ἑκάστην εἴσοδον ἁμαρτάνοντας, ὡς καὶ χειροποίητα ὄντως ἐργάσασθαι νοσήματα.

11 7 τὰ μὲν δὴ τῆς θεραπείας τοῖς τοιούτοις πυρετοῖς πρόχειρα, τὰ δὲ τῆς διαγνώσεως ἀκριβείας πλείονος δεῖται καὶ οὐδεὶς πρό γε ἡμῶν ἔγραψεν αὐτὰ εἰς ὅσον ἐχρῆν. ὥστ’ οὐδὲν θαυμαστὸν εἰς τοσοῦτον ἁμαρτάνειν τοὺς πολλοὺς ἐν ταῖς ἰάσεσιν, εἰς ὅσον κἀν ταῖς διαγνώσεσι σφάλλονται. πολλάκις γὰρ ἤρξαντό τινες νοσημάτων χαλεπῶν κατά τινα συντυχίαν, οἷον οἰνωθέντες, ἢ ἐγκαυθέντες, ἢ ψυχθέντες, ἢ κοπωθέντες, ἢ ἀγρυπνήσαντες, ἢ θυμωθέντες, ἢ ὁπωσοῦν ἄλλως αἰτίᾳ τινὶ συσχεθέντες τῶν καθ’ αὑτὰ βλάπτειν πεφυκότων· εἶτα οἰηθέντες τὸ πᾶν διὰ τὸ προηγησάμενον αἴτιον, οὐ δι’ ἄλλην τινὰ γεγονέναι διάθεσιν, ἀφυλακτότερον διαιτηθέντες ἔλαττον ἑαυτοὺς εἰς ἀνίατον ἢ καὶ δεινῶς δυσίατον ἐμβάλλοντες νόσημα. ταῦτ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὖν χρὴ περὶ παντὸς πρόνοιαν πεποιῆσθαι, καθότι καὶ Ἱπποκράτης παραινεῖ προγινώσκειν οὐ τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ τὰ προγεγονότα καὶ τὰ παρόντα. καὶ γὰρ οὖν καὶ τὸ νῦν προκείμενον ἐκείνου τοῦ μέρους τῆς τέχνης ἐστὶ, καὶ ἡμεῖς αὐτὸ καθόσον οἷόν τε σαφῶς γράψομεν.

11 8 οὐ σμικρὰ γὰρ ἡ διαφορὰ λούειν ἤδη τὸν κάμνοντα καὶ θαῤῥεῖν κελεύειν, ἢ διὰ πάσης φυλακῆς τε καὶ ἀσφαλείας ἄγειν. εἰσελθόντας οὖν χρὴ πρὸς τὸν ἀσθενοῦντα πρῶτον μὲν ἀπὸ τῶν μεγίστων σκοπεῖσθαι τὰ κατ᾽ αὐτόν· ἔπειτα δὲ καὶ ἀπὸ τῶν ἄλλων μηδὲν ὡς οἷόν τε μηδὲ τῶν ἐλαχίστων παραλείποντας. τὸ γὰρ μᾶλλον ἢ ἧττον τῇ παρὰ τῶν μεγίστων ἐνδείξει πιστεύειν ἐκ τῆς τῶν ἄλλων προσθήκης γίνεται. μέγιστα μὲν δὴ τοῖς πυρέσσουσιν ἅπασιν ἔν τε τοῖς σφυγμοῖς ἐστι καὶ τοῖς οὔροις γνωρίσματα· προστιθέναι δὲ χρὴ τούτοις καὶ τἄλλα σύμπαντα, τά τε περὶ τὸ πρόσωπον παρ᾽ Ἱπποκράτους εἰρημένα καὶ τὰ τῶν κατακλίσεών τε καὶ τὰ τῆς ἀναπνοῆς καὶ ὅσα κάτω τε καὶ ἄνω κενοῦται· καὶ μὲν δὴ καὶ εἴ τι σύμπτωμα περὶ ὁτιοῦν μόριον τοῦ σώματος ἢ ἐνέργειαν αὐτοῦ συνιστάμενον βλέποις, οἷα δὴ μυρία ἐπὶ μυρίοις ἐκεῖνος ἔγραψε, μηδὲ τούτων ῥᾳθύμως μηδὲν παρέρχεσθαι. ταῦτα μὲν δὴ ἐπὶ πάντων κοινὰ τῶν πυρετῶν. ὥστε καὶ τοῖς ἁπλουστάτοις, ὑπὲρ ὧν ὁ ἐνεστηκὼς λόγος, οὐδὲν οὐδὲ τούτων χρὴ παραλιπεῖν. ἀλλ᾽ ἐπειδάν σοι τά τε τῶν σφυγμῶν καὶ τὰ τῶν οὔρων ἐνδείξηται τὸ ἦθος τοῦ πυρετοῦ· τῶν μὲν σφυγμῶν μήτε τὸ τῆς φλεγμονῆς σημεῖον ἐχόντων μήθ᾽ ὅλως τὸ κατὰ μίαν προσβολὴν τῆς ἀρτηρίας ἀνώμαλον· εἰ δὲ καὶ ἔχοιεν, τοῦτο μὲν παντάπασιν ἀμυδρὸν ἐχόντων, τῶν οὔρων δὲ ἢ πάντῃ τοῖς κατὰ φύσιν ἐοικότων ἢ μὴ πολὺ τῆς φύσεως ἐξισταμένων, τόθ᾽ ἥκειν χρὴ καὶ ἐπὶ τἄλλα σύμπαντα τὰ πρόσθεν εἰρημένα.

11 9 κᾀπειδὰν ὥσπερ χορὸς συμφώνως ἅπαντα φθέγγωνται, θαῤῥεῖν τε ἤδη χρὴ καὶ, εἰ βούλοιο, προσανερέσθαι, μή τι προηγήσατο φανερὸν αἴτιον· εἰ γάρ τι καὶ τοιοῦτον ὁμολογήσει ὁ νοσῶν, ἀναμείνας τὴν πρώτην λύσιν τοῦ πυρετοῦ, λούειν αὐτίκα, πιστοτέρας σοι τῆς διαγνώσεως καὶ κατ᾽ αὐτὸ τὸ τῆς λύσεως εἶδος γινομένης· ἥ τε γὰρ τῶν ἀρτηριῶν κίνησις ἐν τῷδε κατὰ πᾶν ἐξομοιοῦται τῇ τῶν ὑγιαινόντων, οὐδενὸς τῶν ἄλλων πυρετῶν εἰς τὸ κατὰ φύσιν ἐπανιόντος, οὐδ᾽ εἰ πάμπολυς ὁ μεταξὺ χρόνος τῆς τε προτέρας τελευτῆς καὶ τῆς δευτέρας ἀρχῆς εἴη, καθάπερ ἐν τριταίοις τε καὶ τεταρταίοις, ἐν ἐκείνοις μὲν γὰρ ἀεὶ παραμένει τὸ τοῦ πυρετοῦ σημεῖον, ἐν δὲ τοῖς ἐφημέροις συνεξαλείφεται πᾶν τοῦ παροξυσμοῦ παυομένου· τοῖς πλείστοις δὲ αὐτῶν καὶ νοτίδες· ἔστι δ᾽ οἷς καὶ ἱδρῶτες ἐπιφαίνονται χρηστοί.

11 10 ἢ πάντως γε οἷον ἀτμός τις πολὺς ἐκ τοῦ βάθους ἀναφέρεται. ἀλλὰ καὶ τὰ οὖρα πολὺ βελτίω νῦν ἢ κατὰ τὴν ἀρχὴν τοῦ πυρετοῦ φανεῖταί σοι. καὶ εἰ κεφαλῆς ἤ τινος ἄλλου μέρους ἄλγημα συνεισέβαλεν, οὐδὲ τοῦτ᾽ ἂν ἔτι μένοι. καὶ ἡ τοῦ κάμνοντος εὐφορία μέγιστόν τι καὶ αὐτὴ σημεῖον οὖσα, καθάπερ τις σφραγὶς ἐπὶ πᾶσι τοῖς ἄλλοις ἐνδείξεταί σοι τὴν ἐπιείκειαν τοῦ πυρετοῦ. καὶ εἰ λουομένοις δὲ αὐτοῖς μήτε φρίκη ἀήθης διοχλοίη μήτ᾽ ἄλλη τις ἀηδία, καὶ εἰ μετὰ τὸ λουτρὸν ἐφεξῆς ἐν εὐφορίᾳ μένοι, θαῤῥῶν ἤδη τρέφοις ἂν αὐτοὺς καὶ οἴνου παρέχοις ἀδεῶς πίνειν ὅσον τοῖς παροῦσι μέτριον. ἡμεῖς δὲ, ὡς οἶσθα, πειρώμεθα λέγειν αὐτοῖς τὸ προηγησάμενον αἴτιον, οὐ περιμείναντες ἐρέσθαι τὸν κάμνοντα, καὶ ἔστι μέγιστον σημεῖον εἰς τὸ μηδὲν σφάλλεσθαι τὸ τοιαύτην τινὰ πεπορίσθαι δύναμιν. εἰ μέντοι μενόντων ἔτι τῶν τῆς ψυχῆς παθῶν ἡ ἐπίσκεψις γίγνοιτο, διὰ τῶν σφυγμῶν μάλιστα πειρᾶσθαι διαγινώσκειν, ὡς ἐν τοῖς περὶ σφυγμῶν γέγραπται· μετὰ τούτους δὲ καὶ τὴν ἀπὸ τῶν ἄλλων ἀπάγειν διάγνωσιν.

11 11 εἰ δ᾽ αὐτὰ μὲν εἴη πεπαυμένα, μένοι δὲ ἡ διάθεσις, ἀμυδρὸν μέν τι καὶ κατὰ τοὺς σφυγμοὺς εὑρήσεις γνώρισμα τῶν ποιησάντων τὸν πυρετὸν παθῶν, ἀποχρήσει δέ σοι καὶ χωρὶς τῶν σφυγμῶν τὰ λοιπά· κοινῶς μὲν γὰρ ἅπασι τὰ οὖρα πυῤῥά. πρόσεστι δὲ τοῖς μὲν διὰ λύπην δριμύτης μᾶλλον ἢ πλῆθος θερμασίας· ὡς τοῖς γε διὰ θυμὸν ἔμπαλιν. ἀλλὰ καὶ ἡ ἰσχνότης τοῦ σώματος ἐπιδηλοτέρα τοῖς λυπηθεῖσιν ἢ φροντίσασι· καὶ ἡ τῶν ὀφθαλμῶν κοιλότης καί τις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀήθης ἄχροια, ταῦτα μὲν δὴ καὶ τῶν ἄλλως ὁπωσοῦν φροντισάντων κοινά. μάλιστα δὲ τοῖς ὀφθαλμοῖς διορίζειν χρή· ἔνεστι γὰρ ἐκ τούτων τεκμαίρεσθαι κἀν τοῖς ὑγιαίνουσι μὲν τὸ τῆς ψυχῆς ἦθος. καὶ νοσούντων δὲ σαφέστερα τὰ σημεῖα τῷ γε δυναμένῳ συνορᾷν ἀκριβῶς. οὕτω μὲν οὖν τοὺς διὰ μαθήματα καὶ θεωρίαν τινὰ φροντίσαντας τῶν λυπηθέντων διακρίνειν προσήκει. τοὺς δὲ ἐπ’ ἀγρυπνίαις διορίζει μὲν καὶ τὸ τῆς ἀχροίας εἶδος, ὕποιδον γάρ ἐστιν αὐτοῖς τὸ πρόσωπον, καὶ ἡ τῶν ὀφθαλμῶν δὲ κίνησις δήλη.

11 12 μόλις γὰρ ἐπαίρουσι τὰ βλέφαρα· καὶ ἡ ὑγρότης δὲ ἐν τοῖς βλεφάροις· ξηρὰ γὰρ γίνονται τοῖς λυπηθεῖσιν ἢ φροντίσασιν. ἡ κοιλότης δὲ κοινὸν ἁπάντων σύμπτωμα, λύπης, ἀγρυπνίας, φροντίδος, οὐ μὴν ἤδη γε καὶ θυμοῦ, τούτων γὰρ οὔτε τὰ κοιλότητος τῶν ὀφθαλμῶν οὔτε τὰ τῆς ἀχροίας ἐπίδηλα. καὶ ἡ θερμασία πλείων τε καὶ ὠκέως ἐκ τοῦ βάθους ἀναφερομένη καὶ τὸ μέγεθος τῶν σφυγμῶν οὐ καθαιρεῖται, καθάπερ ἐπ’ ἀγρυπνίας τε καὶ λύπης καὶ φροντίδος. ὥστε θυμοῦ μὲν καὶ πάνυ σαφῶς αὐτὰ διοριεῖς· ἀλλήλων δ’ ἐκεῖνα, καθότι προείρηται. τῶν δ’ ἐπὶ κόποις πυρεττόντων τὸ δέρμα ξηρότερον ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν. ἀλλὰ τοῦτο μὲν ἅπασι τοῖς ἐπὶ κόπῳ πυρέξασι κοινὸν ἔν γε τῷ μέχρι τῆς ἀκμῆς τοῦ παροξυσμοῦ χρόνῳ. τὸ δ’ ἀπὸ τοῦδε τοῖς πλείστοις μὲν, ὅσοι γε μὴ ὑπερεπόνησαν, ἰκμάδες τινὲς ἢ ἀτμὸς θερμὸς ἐκ τοῦ βάθους ἀναφέρεται. τισὶ δὲ κἀν τοῖς μετὰ τὴν ἀκμὴν χρόνοις ἡ ξηρότης παραμένει· γίνεται δὲ τοῦτο μάλιστα τοῖς ὑπερπονήσασιν, ἢ ψυχθεῖσιν, ἢ ἐγκαυθεῖσιν ἅμα τῷ κόπῳ. καὶ μὲν δὴ καὶ τὰ τῶν σφυγμῶν οὐχ ὡσαύτως ἐν ἀμφοτέροις ἔχει.

11 13 μικροὶ μὲν γὰρ τοῖς ὑπερπονήσασι, μεγάλοι δ’ εἰσὶ τοῖς ἄλλοις. οἱ δ’ ἐπὶ πυκνώσει τοῦ δέρματος γινόμενοι πυρετοὶ, πυκνοῦται δὲ τοῦτο ἢ ψυχόμενον ἢ ποιότητος αὐτῷ στρυφνῆς ἀθρόως προσπεσούσης, οἷόν τι καὶ τῷ λουσαμένῳ ἐν ὕδατι τῷ στυπτηριώδει ἐγένετο· οὗτοι μόνοι πάντων τῶν πυρετῶν στεγνόν εἰσι πάθος. ἔνεστι δὲ αὐτοὺς τῇ ἁφῇ διαγινώσκειν, ὥσπερ καὶ τοὺς αὐχμώδεις τῶν πυρετῶν καὶ τοὺς ἐπὶ τοῖς κόποις καὶ τοὺς ἐπ’ ἐγκαύσεσιν. οὐδὲ γὰρ ἂν ἡ τούτων πύκνωσις ἁφὴν γεγυμνασμένην διαλάθοι. ἀτὰρ οὖν καὶ ἡ τῆς θερμασίας κίνησις ἐπαναδιδοῦσά πώς ἐστι, πρᾳεῖα μὲν κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς φαινομένη, δριμεῖα δὲ εἰ χρονίσειας ἐπὶ πλεῖον γιγνομένη· οὐ μὴν οὐδὲ τὰ οὖρα πυῤῥὰ τοῖς τοιούτοις, οὐδὲ ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν· οὔκουν οὐδὲ οἱ ὀφθαλμοὶ κοῖλοι καὶ ξηροὶ γίνονται, ἀλλ’ ἔστιν οἷς ὑγρότεροί τε καὶ προπετέστεροι δόξουσιν εἶναι τῶν κατὰ φύσιν. οὐδ’ οἱ σφυγμοὶ μικρότεροι, καθάπερ ἐπὶ λύπης ἢ φροντίδος ἢ ἀγρυπνίας καὶ τοῖς ἄγαν ἀμέτροις γυμνασίοις χρωμένοις. τοῖς δὲ ἐπὶ βουβῶσι πυρετοῖς ἐφημέροις οἱ σφυγμοὶ μέγιστοι γίνονται καὶ πυκνοὶ καὶ ὠκεῖς, καὶ ἡ θερμασία πολλὴ καὶ μετὰ τὴν ἀκμὴν εὐθὺς ἐκ τοῦ βάθους ἀναφέρεταί τις ἰκμὰς θερμὴ μὲν, ἀλλ’ ἡδεῖα.

11 14 τὸ γὰρ δριμὺ καὶ τὸ δάκνον ἥκιστα πυρετῶν πάντων τοῖς τοιούτοις ὑπάρχει· καὶ τὸ πρόσωπον ἐρυθρὸν αὐτοῖς γίνεται τοὐπίπαν καὶ ἐν ὄγκῳ μείζονι, καὶ τὰ οὖρα ὑπόλευκα. κοινὸν δὲ τοῖς τοιούτοις ἅπασι πυρετοῖς τοῖς ἐφημέροις ἡ ὁμαλότης τοῦ σφυγμοῦ. παντελῶς γὰρ ἐξ αὐτῶν ὀλίγοι τὴν καὶ μίαν πληγὴν ἀνωμαλίαν ἐμφαίνουσιν· ἀλλ’ οὐδ’ οὗτοι πάνυ σαφῶς οὐδ’ ἐναργῶς. τοιαῦτα μὲν αὐτῶν τὰ γνωρίσματα. Θεραπεύειν δὲ χρὴ λουτρῷ μὲν ἅπαντας. ἀλλὰ τοὺς μὲν ἐπὶ πυκνώσει τοῦ δέρματος ἢ ἐπὶ βουβῶσιν, οὐδ’ εἰ ἐν τῷ ἀέρι τοῦ βαλανείου χρονίσαι κελεύσειας, οὐδὲν βλάψεις· τοὺς δ’ ἄλλους ἅπαντας ὅτι τάχιστα τοῦ ἀέρος ἀπάγειν. ἐν δὲ τῷ ὕδατι, κἂν ἐπὶ πλεῖστον ἐθέλοιεν διατρίβειν, ἐπιτρέπειν. ἐλαίῳ δὲ χλιαρῷ καὶ πολλῷ καὶ μαλακαῖς χερσὶν ἀνατρίβειν ἐπιπλέον, μάλιστα μὲν τοὺς κοπωθέντας, ἐφεξῆς δ’ αὐτῶν τοὺς στεγνωθέντας· καὶ τρίτους τοὺς ἐπὶ βουβῶσι πυρέξαντας.

11 15 καὶ λούειν δὲ πολλάκις εἰς ὅσον ἐγχωρεῖ τοὺς τοιούτους. ἐσθίειν δὲ τοὺς μὲν ἐπὶ τοῖς κόποις ἐνδέχεται πολλάκις, οὐ μὴν οὔτε τοὺς στεγνωθέντας οὔτε τοὺς ἐπὶ βουβῶσι πυρέξαντας· ἀλλὰ τούτοις ἀμφοτέροις ἡ λεπτὴ δίαιτα χρηστή. τοὺς δ’ ἐπὶ τοῖς κόποις ὅσα καλῶς πέψαι δύνανται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κελεύειν ἐσθίειν, ἀπεψίαν μόνον φυλαττομένους. ἀλλὰ καὶ οἴνου πίνειν εἰς ὅσον ἂν καὶ τούτου κρατεῖν δύνανται. σκοποὶ δ’ ἂν εἶεν τοῦ μέτρου οἵπερ δὴ καὶ τῶν ἄλλων ἁπάντων, ἥ τε δύναμις καὶ ἡ ἡλικία τοῦ νοσοῦντος καὶ ἡ φυσικὴ κρᾶσις, ἔθη τε καὶ ὧραι καὶ χῶραι καὶ τὰ ἄλλα τὰ τοιαῦτα. τοὺς δ’ ἐπὶ βουβῶσι πυρέξαντας εἴργειν οἴνου, πρινὴ τοὺς βουβῶνας λυθῆναι. τῶν δὲ στεγνωθέντων ἢ ψυχθέντων τοὺς μὲν ἐπ’ ὀλίγον τοῦτο παθόντας ἥκιστά τε πληθωρικοὺς οὐ χρὴ κωλύειν οἴνου προσφέρεσθαι, τοὺς δὲ ἐπὶ πλέον ψυχθέντας ἢ πληθωρικοὺς κωλύειν συμφέρει. τοὺς δ’ ἐπ’ ἀγρυπνίαις, ἤ τινι πάθει ψυχῆς πυρέξαντας, ἐπὰν λούσῃς, ὑγραινούσῃ τε καὶ εὐχύμῳ τροφῇ διαιτᾶν. οἴνου δὲ μάλιστα μὲν τοῖς ἀγρυπνήσασιν ἀδεῶς διδόναι πᾶσι, πλὴν εἰ μὴ κεφαλὴν ἀλγοῖεν ἢ οἱ κρόταφοι σφύζοιεν.

11 16 ὃ δηλονότι καὶ ἐν τοῖς ἄλλοις φυλακτέον, ἀλλὰ καὶ τοῖς ὀργισθεῖσιν, ἢ λυπηθεῖσιν, ἢ φροντίσασιν οἴνου διδόναι· τοῖς θυμωθεῖσι δὲ, ἡνίκα ἔξω παντελῶς τοῦ πάθους ὦσι, πρότερον δ’ οὐκ ἀσφαλὲς οἴνῳ χρῆσθαι. πειρᾶσθαι δὲ καὶ τὸ ἐναντίον ἀντεισάγειν ἀεὶ τῷ λυπήσαντι· κόπῳ μὲν ἀνάπαυσιν, ἀγρυπνίᾳ δὲ ὕπνον, ὀργῇ δὲ καὶ λύπῃ καὶ θυμῷ τὴν ἐν λόγοις τε καὶ πράξεσι καὶ θεάμασι καὶ διηγήμασι θυμηδίαν. οὕτω δὲ καὶ ὁ φροντίσας ἐπ’ αὐτῷ τελέως ἀναπαυσάτω τὸν λογισμόν. καὶ ὁ διὰ βουβῶνα πυρέξας αὐτόν τε τοῦτον ἐξιάσθω καὶ πολὺ πρότερον αὐτοῦ τὸ ἕλκος ἐφ’ ᾧ συνέστη. ταῦτά σοι πυρετῶν ἐφημέρων ἔστω γνωρίσματά τε ἱκανὰ καὶ ἰάματα. τῶν δ’ ἄλλων πυρετῶν οἱ μὲν ἐπὶ φλεγμοναῖς, οἱ δ’ ἐπὶ χυμοῖς ἀνάπτονται. καὶ εἰσὶν οἱ μὲν ἐπὶ ταῖς φλεγμοναῖς, οἷον συμπτώματά τινα τῶν φλεγμαινόντων μορίων, καὶ τοὔνομά γε τῷ νοσήματι παρωνύμως τὰ πολλὰ ἀπὸ τοῦ πάσχοντος ὀργάνου φρενῖτις, ἢ περιπνευμονία, ἢ πλευρῖτις ἤ τι τοιοῦτον ἄλλο· περὶ μὲν δὴ τῶν τοιούτων ὕστερον ἐροῦμεν.

11 17 Οἱ δ’ ἐπὶ χυμοῖς ἀναπτόμενοι πυρετοὶ καλοῦνταί τ’ αὐτὸ τοῦτο πυρετοὶ καί εἰσιν οὐ συμπτώματα νοσημάτων, ἀλλ’ αὐτοὶ νοσήματα. τούτων δὲ τινὲς μὲν ἄνευ συμπτωμάτων, οἵπερ δὴ καὶ ἐπιεικέστατοί εἰσι· τινὲς δ’ ἅμα συμπτώμασιν ἐνοχλοῦσιν. εἰρήσεται δ’ ἡμῖν περὶ προτέρων τῶν ἄνευ συμπτωμάτων πυρετῶν· ἐν οἷς μάλιστα μὲν εἰ οἷόν τε κατὰ τὴν πρώτην ἡμέραν διαγνωστέον οἷός τίς ἐστιν ὁ πυρετὸς, ἆρά γε χρόνιος ἢ ὀξύς, καὶ πότερον τῶν διαλειπόντων καλουμένων ἢ τῶν συνεχῶν. εἰ δὲ μὴ οἷόν τε περὶ τὴν ἡμέραν τὴν πρώτην, ἀλλὰ τῇ δευτέρᾳ γε πειρατέον ἐξευρεῖν τὴν ἰδέαν τοῦ πυρετοῦ. μηδενὸς δὲ μηδ’ ἐν ταύτῃ βεβαίως διαγνωσθέντος, ἐν γοῦν τῇ τρίτῃ πάντως φανήσεταί σοι σαφέστερόν τι. παντελῶς γὰρ ὀλίγοι πυρετοὶ τῆς τετάρτης ἡμέρας δέονται πρὸς ἀκριβῆ διάγνωσιν. ἐρῶ δέ σοι καθόσον οἷόν τε διὰ βραχέων σημεῖα, δι’ ὧν ἐπιγνώσῃ τὸ εἶδος τοῦ πυρετοῦ. μακρότερον δὲ καὶ σαφέστερον ἑτέρωθι πάντα λέλεκται. Τοὺς μὲν οὖν μετὰ ῥίγους εἰσβάλλοντας οὐκ ἂν ἀπὸ τρόπου τῶν κατὰ περίοδον ἐνοχλούντων ὑπολάβοις εἶναι.

11 18 τριταῖοι γὰρ καὶ τεταρταῖοι μετὰ ῥίγους τοὐπίπαν παροξύνουσιν. ἀλλ’ οἱ μὲν τριταῖοι εὐθὺς ἐν τῇ πρώτῃ καταβολῇ πολλάκις μετὰ σφοδροῦ τοῦ ῥίγους ὑπήρξαντο. τεταρταῖον δ’ οὐκ οἴδαμεν μετὰ σφοδροῦ ῥίγους ἀρξάμενον, ἀλλ’ ἐν τῷ χρόνῳ τὸ μέγεθος αὐτῷ προσγίνεται, σὺν τῷ μηδ’ εὐθὺς ἀπ’ ἀρχῆς τὰ πολλὰ τὸν πυρετὸν τοῦτον εἰσβάλλειν, ἀλλ’ ἑτέρων προηγησαμένων συμπίπτειν. ὁ μὲν οὖν τεταρταῖος τοῖς καλουμένοις πλάνησί τε καὶ πλανήταις ἐπιγίνεται πυρετοῖς διὰ φλέγμα. ὁ δ’ ἀμφημερινὸς οὐδὲ χωρὶς τοῦ τὸ στόμα τῆς γαστρὸς πεπονθέναι τὰ πολλὰ συνίσταται· καθάπερ ὁ τεταρταῖος περὶ σπληνὶ κακοπραγοῦντι· ὁ δὲ τριταῖος περὶ ἥπατι. τὸν μὲν δὴ μετὰ σφοδροῦ τοῦ ῥίγους ἀρξάμενον εἰκὸς μᾶλλον τριταῖον ἢ τῶν ἄλλων τινὰ εἶναι πυρετῶν. εἰ δὲ καὶ τἄλλα τὰ ἐφεξῆς εἰρησόμενα μαρτυροίη, τοῦτον μὲν ἂν ἐναργῶς εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν διαγινώσκοις εἶναι τριταῖον. εἰ δὲ μετὰ βραχέος ἄρξεται ῥίγους, τότε δεῖ καὶ μᾶλλον τοῖς ἄλλοις γνωρίσμασι τὸν νοῦν προσέχειν, ὡς οὐκ ἀμφημερινοῦ καὶ τεταρταίου μόνον, ἀλλὰ καὶ ἡμιτριταίου καὶ ἄλλου τινὸς τῶν συνεχῶν εἶναι δυναμένου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 19 τὰ δ’ ἄλλα γνωρίσματα τό τε τῆς θερμασίας ἐστὶ ποιὸν καὶ καὶ ποσὸν καὶ ἡ τῶν ἀρτηριῶν κίνησις, αὐτό τε τοῦ ῥίγους τὸ εἶδος αἰσθανομένου, ὥρα τε καὶ χώρα καὶ κατάστασις καὶ ἡ φύσις τοῦ νοσοῦντος καὶ ἡ ἡλικία καὶ τὰ προηγησάμενα καὶ τὰ παρακολουθοῦντα. τὴν μὲν γὰρ θερμασίαν πολλὴν καὶ δριμεῖαν εἶναι χρή· τοὺς δὲ σφυγμοὺς μεγάλους καὶ θερμοὺς καὶ σφοδροὺς καὶ ταχεῖς καὶ πυκνοὺς καὶ χωρὶς πάσης ἀνωμαλίας, πλὴν τῆς πυρεκτικῆς. τὸ δὲ ῥῖγος, οἷον νυττομένου τοῦ χρωτὸς ὡς ὑπό τινος ὀξέος μᾶλλον ἢ ψυχροῦ, τῶν ἐν τεταρταίοις τε καὶ ἀμφημερινοῖς ψυχροῦ τοῦ ῥίγους αἰσθανομένων. τὴν δ’ ὥραν θερινὴν, ὥσπερ οὖν καὶ τὸ χωρίον θερμὸν καὶ τήν γε παροῦσαν κατάστασιν· ἔστω δὲ καὶ ἡ φύσις τοῦ κάμνοντος θερμοτέρα τε καὶ χολωδεστέρα, καὶ ἡ ἡλικία νεανίσκου· καὶ γυμνασία μᾶλλον ἢ ἀργία προηγείσθω, καὶ ἔγκαυσις μᾶλλον ἢ ψύξις, καὶ ἔνδεια μᾶλλον ἢ πλησμονή. καὶ ἀγρυπνίαι δὲ καὶ λῦπαι καὶ κόποι καὶ σύντονοι φροντίδες εἰς τοῦτο συντελοῦσιν.

11 20 εἰ δὲ καὶ πολλοῖς ἄλλοις τῶν νοσούντων ἐν ἐκείνῳ τῷ χρόνῳ τριταίοις ἁλῶναι συμβαίη καὶ τοῦτ’ ἂν εἴη πρὸς τοῖς εἰρημένοις μέγιστον γνώρισμα. εἰ δὲ τούτων ἁπάντων ὑπαρχόντων ἢ τῶν μεγίστων τε καὶ ἐπικαιροτάτων δίψος τε αὐτοὺς ἔχει σφοδρὸν, ἔμετός τε χολῆς ἢ ἱδρὼς ἐπιγένηται ἢ ἀμφότερα, νῦν μὲν ἂν καὶ σαφῶς εἴη δῆλος. εἰ δὲ καὶ παύσαιτο μὲν πυρέττων ἐπὶ τοῖσδε ὁ ἄνθρωπος τοῦτον δὴ τὸν φανερὸν ἅπασι καὶ ἐν κινήσει πυρετὸν, ὑπολείποιτο δ’ αὐτῷ κατὰ τὴν τῶν ἀρτηριῶν κίνησιν ἡ ἴδιος ἀνωμαλία τῶν πυρετῶν, βεβαίως ἂν οὕτως ἀποφαίνοις τριταῖον ὑπάρχειν αὐτὸν, ὡς εἰ καὶ διὰ τρίτης ἤδη παροξυνόμενον ἑώρας. Ὁ δὲ τεταρταῖος, χρὴ γὰρ καὶ τούτου τὰ γνωρίσματά σοι γράψαι, τὸ μὲν ἐναργέστατον ἑαυτοῦ τεκμήριον ἐνδείκνυται κατὰ τὴν ἀρχὴν τῶν παροξυσμῶν, ἡνίκα ῥιγῶσιν ἔτι οἱ νοσοῦντες. ἱκανῶς γὰρ ἀραιοὶ καὶ βραδεῖς αὐτῶν οἱ σφυγμοὶ γίγνονται· κατὰ δὲ τὰς ἀκμὰς ἢ καὶ αὐξανομένων ἔτι ταχεῖς μὲν ἀνάγκη καὶ πυκνοὺς εἶναι· σώζεται δ’ ὅμως καὶ τότε ἡ ἴδιος αὐτῶν βραδύτης τε καὶ ἀραιότης, εἰ τὸ προσγεγονὸς τάχους καὶ τῆς πυκνότητος τῶν παροξυσμῶν λογίσαιο.

11 21 καὶ γὰρ οὖν καὶ εἰ παραβάλοις τὴν ἀκμὴν τοῦ τεταρταίου πυρετοῦ, τῇ τοῦ τριταίου ἀκμῇ πολλῷ τινί σοι δόξουσι θᾶττόν τε καὶ πυκνότερον ἐν τοῖς τριταίοις αἱ ἀρτηρίαι σφύζειν· καὶ αὐτῆς δὲ τῆς μιᾶς κινήσεως ἐν τῷ τεταρταίῳ πυρετῷ τὸ ἀνώμαλον ἐνδείκνυται τὴν ἰδέαν αὐτοῦ. τὴν γὰρ κοινὴν ἁπάντων τῶν πυρετῶν ἐν μιᾷ προσβολῇ τῆς ἀρτηρίας ἀνωμαλίαν ἐναργεστάτην ἐστὶν εὑρεῖν ἐν τούτῳ. πολλῷ γάρ τινι τήν τε ἀρχὴν τῆς κινήσεως καὶ τὸ τέλος ὠκύτερον εὑρήσεις τῶν μέσων· οὐ μὴν δὲ ἐπὶ τῶν τριταίων ὧδ’ ἔχει βραχεῖα γὰρ ἐν αὐτοῖς ἡ ὑπεροχὴ τοῦ τάχους ἐστὶ καὶ μάλιστα κατὰ τὰς ἀκμάς. ἀλλὰ καὶ τὰ τῆς θερμασίας γνωρίσματα διαφερόντως αὐτοῖς ἔχει. τὸ γὰρ θερμὸν καὶ τὸ διακαὲς καὶ τὸ οἷον ζέον τῶν τριταίων πυρετῶν οὐκ ἂν εὕροις ἐν τεταρταίοις. ταυτὶ μὲν οὖν τὰ μέγιστα σημεῖα, τὰ δ’ ἄλλα τὰ ἔξωθεν, οὐδὲ γὰρ χρὴ ταῦτα παραλιπεῖν, ἀλλὰ τήν τε φύσιν ἐπισκοπεῖσθαι τοῦ νοσοῦντος, εἰ μελαγχολικωτέρα· καὶ τὸν καιρὸν τοῦ ἔτους, εἰ φθινόπωρον· καὶ τὴν παροῦσαν κατάστασιν, εἰ ἀνώμαλος.

11 22 οὕτω δὲ καὶ τοῦ χωρίου τὴν φύσιν καὶ τῶν ἐπιδημούντων νοσημάτων· καὶ εἰ σπλὴν μέγας εἴη καὶ ἄτακτοι πυρετοὶ προηγήσαντο καὶ ἡ ἡλικία τῆς ἀκμῆς ἐπέκεινα καὶ εἰ μεθ’ ἱδρῶτος παύοιντο· χολῆς δὲ ξανθῆς ἔμετον ἐν τούτοις τοῖς πυρετοῖς μὴ προσδοκᾷν, ὥσπερ οὐδ’ ἐν τοῖς ἀμφημερινοῖς, ἴδιον γὰρ τῶν τριταίων τοῦτο. παυσαμένων δὲ τοῦ πυρέττειν, εἰ τὸ τοῦ πυρετοῦ σημεῖον ἔτι παραμένοι καὶ οἱ σφυγμοὶ τῶν κατὰ φύσιν ἀραιότεροί τε καὶ βραδύτεροι γίγνονται, τεταρταῖος ἂν εἴη σαφῶς ὁ τοιοῦτος πυρετός. Ἀμφημερινὸν δὲ πυρετὸν τοῖσδ’ ἂν μάλιστα γνωρίσαις· ὑγροτέραν γὰρ εἶναι χρὴ τὴν θερμασίαν αὐτοῦ μετά τινος δριμύτητος, οὐ κατὰ τὴν πρώτην ἐπιβολὴν εὐθὺς ὑποπιπτούσης, ἀλλ’ ἐγχρονιζούσης τῆς χειρός. καπνώδη γάρ τινα θερμασίαν ἀτμῷ πολλῷ συμμιγῆ δόξαις ἀνιέναι, καταπνιγομένου μᾶλλον ἐν ὑγρότητι τοῦ πυρὸς πολλῇ ἢ αὐτοῦ τῆς ὕλης κρατοῦντος. ἀλλὰ καὶ οἱ σφυγμοὶ τούτοις μικρότεροι τῶν ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τεταρταίοις εἰσὶ πλέον ἢ ἐκεῖνοι τῶν ἐν τριταίοις. ἀραιότεροι δ’ αὖ πάλιν οἱ ἐν τοῖς ἀμφημερινοῖς τῶν ἐν τριταίοις τοσοῦτον, ὅσον τούτων οἱ ἐν τοῖς τεταρταίοις.

11 23 βραδύτητος δὲ ὡσαύτως ἐν ἀμφοῖν ἔχουσιν. ἧττον δὲ διψώδης ὁ πυρετὸς οὗτος. λείπεται οὖν τεταρταίου τοσοῦτον, ὅσον ἐκεῖνος τριταίου. καὶ ἡ γλῶσσα καὶ τὸ σύμπαν σῶμα ξηρότατον μὲν ἐν τριταίοις, ὑγρότατον δ’ ἐν τούτοις ἐστὶ τοῖς πυρετοῖς· καὶ οἱ ἔμετοι φλεγματώδεις καὶ ὅσα διὰ γαστρὸς ἐκκρίνεται ψυχρότερα καὶ ὑγρότερα καὶ ὠμότερα καὶ ὑδατωδέστερα καὶ φλεγματωδέστερα. καὶ τὸ σύμπαν ἀπέπτων χυμῶν ἀνάπλεων ἐν τούτοις τοῖς πυρετοῖς εὑρήσεις τὸ σῶμα. καὶ γὰρ οὖν καὶ ἡλικίαις καὶ φύσεσι καὶ χώραις καὶ ὥραις ἔτους καὶ κράσεσιν ὑγροτέραις συμπίπτουσι. νεανίσκον μέν γε χολώδη καὶ ξηρὸν τῇ κράσει οὐκ εἶδον οὐδέπω ποτε ἁλόντα τούτῳ τῷ πυρετῷ. παῖδες δὲ καὶ μάλιστα οἱ μικρότεροι καὶ ὅσοι τῶν τελείων φλεγματικώτεροί τέ εἰσι καὶ τὴν ἕξιν τοῦ σώματος παχεῖς καὶ ἀργὸν τὸν βίον ἔχοντες ἐν πλησμοναῖς καὶ μέθαις καὶ λουτροῖς συνεχέσι καὶ μάλιστα τοῖς ἐπὶ τροφῇ ἀμφημερινοῖς εὐάλωτοι· ἀτὰρ οὖν καὶ χωρία τὰ ὑγρότερα καὶ τῶν ὡρῶν τοῦ ἔτους ὁ χειμὼν καὶ τῶν καταστάσεων αἱ ὑγρότεραι, μάλιστα φέρουσι τὸν πυρετὸν τοῦτον· εἰ δὲ καὶ ἐπιδημοίη τηνικαῦτα, καὶ τοῦτό σοι πρὸς τὴν διάγνωσιν ἐπὶ τοῖς εἰρημένοις οὐ μικρὰ συντελέσει.

11 24 οὐ μὴν οὐδὲ παύουσι τὰς παρακμὰς τούτων τῶν πυρετῶν οἱ ἱδρῶτες, ὥσπερ ἐν τριταίοις καὶ τεταρταίοις, ὅθεν οὐδ’ εἰς ἀπυρεξίαν ἔρχονται σαφῆ, πλὴν ὀλίγων δή τινων. τὰ δ’ οὖρα τὰ μὲν ἐπὶ προήκουσιν αὐτοῖς γιγνόμενα τοὺς καιροὺς τῆς ὅλης νόσου διδάσκει· τὰ δ’ ἐν ἀρχαῖς ἐνδείξεταί σοι καὶ αὐτὸ τὸ εἶδος τοῦ πυρετοῦ. τοῖς μὲν γὰρ ἀμφημερινοῖς ἢ λευκὰ ἢ λεπτὰ ἢ παχέα καὶ θολερὰ ἢ ἐρυθρά. τοῖς δὲ τριταίοις ἢ πυῤῥὰ ἢ ὑπόπυῤῥα. τοῖς δὲ τεταρταίοις πολυειδῆ μὲν, ἀλλ’ ἄπεπτα πάντα. καὶ ταῦτα μὲν τῶν διαλειπόντων πυρετῶν ἐστι γνωρίσματα. Τοὺς συνεχεῖς δ’ ἂν γνωρίζοις μάλιστα μὲν ἐκ τοῦ μηδὲν αὐτοῖς παρεῖναι σημεῖον, ὧν εἴπομεν ὑπάρχειν χρῆναι τοῖς διαλείπουσι, καὶ εἰ μὴ παύοιτο δὲ τῶν τεττάρων καὶ εἴκοσιν ὡρῶν ἐντὸς ὁ πυρετός· εἰ δὲ καὶ ἀνώμαλον ποιήσαιτο τὴν αὔξησιν, οὗτος μέν γε καὶ πρὸς τοῖς ἄλλοις γνωρίσμασι καὶ χρόνον ὑποσημαίνει πλείονα· καὶ μὲν δὴ καὶ εἰ τὸ ἴδιον τῶν πυρετῶν σημεῖον ἐν τοῖς σφυγμοῖς ἐναργὲς ἔχοιεν.

11 25 εἰ δὲ καὶ ἀταξία τις ἢ ἀνωμαλία προσείη αὐτοῖς ἢ ἀῤῥυθμία, καὶ τοῦτ’ ἂν εἴη σημεῖον τοῦ μεγέθους ἅμα καὶ ὡς οὐκ εἰσὶ τῶν διαλειπόντων. εἰ δὲ τοιοῦτοι μείναντες ἐν τῇ τρίτῃ τῶν ἡμερῶν μείζονα τὸν παροξυσμὸν ἐνδείξαιντο ἢ εἰ καὶ τὰ διαχωρήματα καὶ τὰ οὖρα παντάπασιν ἄπεπτα φαίνοιτο, τοὺς τοιούτους πυρετοὺς οὐκ ἐνδέχεται παρὰ τὴν ἑβδόμην κριθῆναι. εἰ δὲ καὶ ἡ τετάρτη τῶν ἡμερῶν ὁμοία φαίνοιτο τῇ τρίτῃ, καὶ ὁ πυρετὸς οἷον σμυχόμενος εἴη, καὶ τὸ πρόσωπον ἥ τε πᾶσα ἕξις τοῦ σώματος ἀσύμπτωτος, ὁ τοιοῦτος εἰς πλείονα χρόνον ἐκτείνεσθαι φιλεῖ. τοιαῦται μέν τινες αἱ διαφοραὶ τῶν ἄνευ συμπτωμάτων πυρετῶν. Ἡ θεραπεία δὲ καθ’ ἕκαστον αὐτῶν ἐφεξῆς γεγράψεται· πρῶτον μὲν τῶν διαλειπόντων, δεύτερον δὲ τῶν συνεχῶν λεγομένων. ἐπὶ μὲν οὖν τοῖς διαλείπουσιν ὀξύτατός τε ἅμα καὶ ἐπιεικέστατος ὁ τριταῖός ἐστι· μακρότατος δὲ καὶ ἀκίνδυνος ὅσον ἐφ’ ἑαυτῷ ὁ τεταρταῖος. ὁ δ’ ἀμφημερινὸς μακρὸς καὶ οὐκ ἀκίνδυνος, ὥστε καὶ τὴν δίαιταν εὐθὺς ἐξ ἀρχῆς καθίστασθαι προσήκει, πρὸς τὸν ξύμπαντα χρόνον τοῦ νοσήματος ἀποβλέποντας.

11 26 τὰ μὲν γὰρ ὀξέα καὶ ταχέως ἀκμάζοντα, κᾂν εἰ πάνυ λεπτῶς θέλοι τις διαιτᾷν, οὐκ ἄν τι μέγα βλάψει. ὅσα δὲ χρονιώτερα, ταῦτ’ εἰ μὴ κατ’ ἀρχὰς ἁδρότερον διαιτήσειας, ἢ συναναιρήσεις τῷ νοσήματι τὸν ἄνθρωπον ἢ οὐκ ἐν καιρῷ τὴν δίαιταν ὑπαλλάξεις. οὐ γὰρ χρὴ προσιούσης τῆς ἀκμῆς ἁδρότερον ἢ πρόσθεν διαιτᾷν, ἀλλὰ τοὐναντίον τῆς ὅλης τοῦ πάθους διαίτης τὸ λεπτότατον εἰς τὴν ἀκμὴν ἀποτίθεσθαι χρή· τοῦτο μὲν οὖν κοινὸν ἁπάντων. πρὸς αὐτῷ δὲ δεῖ καὶ τὰ ἴδια τῶν διαλειπόντων ἐπισκοπεῖσθαι, οἷον εὐθὺς ἐν τοῖς τριταίοις, οὐδὲν γὰρ χεῖρον ἐντεῦθεν ἄρξασθαι, διοριζέσθω σοι κατ’ ἀρχὰς εἰ ἀκριβής ἐστι καὶ ὡς ἄν τις εἴποι γνήσιος, ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκ ἀκριβὴς, ἀλλ’ οἷον νόθος τις. ὁ μὲν γὰρ ἀκριβὴς τριταῖος τὸ μακρότατον ἐν ἑπτὰ περιόδοις κρίνεται, πρὸς τῷ καὶ ἀκινδυνότατος εἶναι. τὸν ἕτερον δὲ τὸν οὐκ ἀκριβῆ οἶδά ποτε φθινοπώρου μὲν ἀρξάμενον, ἦρος δὲ παυσάμενον· εἶτα οἷα εἰκὸς ἐν τοσούτῳ χρόνῳ, τὸ μέν τι καὶ αὐτοῦ τοῦ νοσοῦντος οὐ πάνυ τι πειθομένου τοῖς τῶν ἰατρῶν προστάγμασιν, ἀλλὰ καὶ ἁμαρτάνοντός τι· τὸ δέ τι καὶ ὑπὸ τῆς αἰτίας τοῦ χειμῶνος βλαπτομένου, σπλήν τε μέγιστος ἐξήρθη καὶ ὑποχόνδρια διεφυσᾶτο· καί τις ἤδη καὶ ὕποιδος ἦν ἄχροια περί τε τὸ πρόσωπον καὶ οὐχ ἥκιστα τοῖς σκέλεσιν, ὥστε δεῖσαί τε ἡμᾶς ἀμφὶ τῷ μειρακίῳ καὶ δεηθῆναι μειζόνων βοηθημάτων.

11 27 οὕτως οὐδὲν ὅμοιον ἔχει ὁ τοιοῦτος τριταῖος τῷ ἀκριβεῖ· διὰ τοῦτο οὖν φημι χρῆναι κατὰ τὰς ἀρχὰς αὐτοὺς διορίζειν. εἰς ὅσον γὰρ τῇ φύσει διαφέρουσιν, εἰς τοσοῦτον εὔλογόν ἐστι καὶ τὸν τῆς διαίτης τρόπον ὑπαλλάττεσθαι. ὅπως οὖν ἄριστα διορισθεῖεν, ἀρκεῖ μοι τὰ τῷ μειρακίῳ συμπεσόντα γράψαι, παράδειγμά τε ἅμα τῶν οὐκ ἀκριβῶν τριταίων καὶ ὑπομνήματά σοι γενησόμενα. ἦν μὲν δὴ τοῦ ἔτους τὸ μεταξὺ πλειάδων τε δύσεως καὶ τῆς προγεγενημένης ἰσημερίας· ἤρξατο δὲ μετὰ φρίκης ὁ πυρετὸς τῷ μειρακίῳ περὶ αὐτὴν σχεδὸν τὴν ἕω· ὥστε μήτε τῇ θερμασίᾳ τριταίῳ τι δόξαι ἐοικέναι μήτε τοῖς σφυγμοῖς· ἀλλ’ οὐδὲ χολῆς ἔμετος ἠκολούθησεν οὔτε ἱδρὼς ἱκανός· ἀλλὰ μόνον ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν ὥρᾳ που τρίτῃ βραχεῖαι νοτίδες ἐγίγνοντο, ἐφ’ αἷς διεπνεῖτο μὲν ὁ πυρετὸς ἀτρέμα οὕτως, ὥστε περὶ τὴν ἑσπέραν μόγις ἀπύρετον εἶναι δοκεῖν· ἔμενε δὲ δηλαδὴ κατὰ τοὺς σφυγμοὺς τό τε τοῦ πυρετοῦ σημεῖον αὐτῷ σαφὲς ἱκανῶς.

11 28 ἀλλὰ τἄλλα γε πάνυ εὐφόρως εἶχε κατὰ τὴν ἑσπέραν καὶ δι’ ὅλης τῆς νυκτός. αὖθις δὲ περὶ τὴν ἕω τῆς τρίτης ἡμέρας δευτέρα καταβολὴ γίνεται, τὰ πάντα τῇ πρώτῃ παραπλησία, πλὴν τοῦ χρόνου· τῆς γὰρ ἐπιούσης νυκτὸς ὀλίγον πρὸ τῆς ἡμέρας νοτίδες ἐγίγνοντο καὶ ὁ πυρετὸς ἐπαύετο περὶ τὴν ἕω τῆς τετάρτης ἡμέρας· καὶ τοῦ λοιποῦ δὲ παντὸς φθινοπώρου καὶ χειμῶνος, ἐν ᾧ διενόσησε, τά τ’ ἄλλα πάντα καὶ ὁ χρόνος τῆς καταβολῆς καὶ τῆς λύσεως τοῦ πυρετοῦ κατὰ ταὐτὰ διέμενον. ἦν δὲ τὸ μειράκιον ἡλικία μὲν ἀμφὶ τὰ ὀκτωκαίδεκα ἔτη, λευκὸν δ’ ἰδέσθαι καὶ πῖον, ἀργότερον τῷ βίῳ καὶ πολλάκις ἔμπροσθεν ἐν μέθαις τε καὶ λουτροῖς συνεχέσι καὶ πλησμοναῖς γεγενημένον, ὥστ’ οὐδὲ χρηστῶς ἔπεττε τὰ σιτία. συνεισέβαλε δ’ αὐτῷ καὶ σκληρὸς σφυγμὸς ἐν μὲν τῇ πρώτῃ καὶ δευτέρᾳ τῶν ἡμερῶν μετρίως, ἐν δὲ τῇ τρίτῃ καὶ τετάρτῃ καὶ ταῖς ἐφεξῆς μέχρι τῆς ἑβδόμης εἰς τοσοῦτον ἧκε σκληρότητος, ὡς ἄν τινα δόξαι τῷ σφυγμῷ μόνῳ πιστεύσαντα πολλῶν εἶναι τὸ νόσημα μηνῶν· καὶ τοιοῦτος παρέμενεν ἄχρι τῆς κατὰ τὸ ἔαρ ἰσημερίας, ἐν ᾗ πρῶτον ἤρξατο μαλάττεσθαι.

11 29 καὶ αὖθις ὕστερον ἡμέρᾳ τεσσαρακοστῇ τελέως ἀπαλλάττεται τοῦ τριταίου, κατὰ βραχὺ τοῦ τε σφυγμοῦ μαλαχθέντος καὶ τοῦ παροξυσμοῦ μικροτέρου γιγνομένου καὶ τῶν οὔρων ὑπόστασιν χρηστὴν ἐχόντων· καὶ γὰρ οὖν καὶ ταῦτα κᾀν τῷ πρόσθεν χρόνῳ πάντα δεινῶς ἦν ἄπεπτα. τοιοῦτος μὲν δὴ ὁ ἐναντιώτατος τῷ ἀκριβεῖ τριταίῳ. τοὺς δ’ ἄλλους τοὺς μεταξὺ παμπόλλους ὄντας ἐκ τῶν ἄκρων ἀφωρισμένων οὐ χαλεπῶς ἂν εὑρήσεις. ἃ γὰρ ἐν ἀρχῇ τοῦ λόγου τριταίων πυρετῶν ἔγραψα γνωρίσματα, ταῦτα σύμπαντα εἰ παρείη, τὸν ἀκριβῆ τριταῖον οὐκ ἐργάζεται, ᾧ πάντως καὶ ὁ τοῦ παροξυσμοῦ χρόνος βραχὺς ὡρῶν τεττάρων ἢ πέντε ἢ ἓξ ἢ τὸ μήκιστον ἕνδεκά που ἢ δώδεκα. καὶ μὲν δὴ καὶ τὰ οὖρα τῶν τοιούτων ἐν τῇ τρίτῃ τῶν ἡμερῶν ἢ πάντως γε τῇ τετάρτῃ φέρει τι σημεῖον πέψεως. οὕτω μὲν οὖν ἀκριβῆ τε καὶ οὐκ ἀκριβῆ γνωρίζοις τριταῖον.

11 30 ἀνάλογον δὲ καὶ τεταρταῖον καὶ ἀμφημερινόν. ᾧ μὲν γὰρ ὑπάρχει πάνθ’ ὅσα πρόσθεν ἔγραψα τεταρταίων πυρετῶν γνωρίσματα, γνήσιός τε καὶ ἀκριβὴς τεταρταῖος. ᾧ δὲ μὴ, νόθος τις ἐκεῖνος καὶ οὐκ ἀκριβής. καὶ ἀμφημερινῶν δὲ ὅτῳ μὲν πάνθ’ ὅσα γέγραπται πάρεστιν, ἀκριβής· ᾧ δὲ μὴ, ὁ τοιοῦτος οὐκ ἀκριβής. οὐκ οὖν οὐδὲ χρόνιοι ὁμοίως τεταρταίῳ καὶ ἀμφημερινῷ οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκ ἀκριβεῖς, ἀλλ’ ὥσπερ τριταῖος ὀξὺς ὁ ἀκριβὴς, οὕτω τεταρταῖός τε καὶ ἀμφημερινὸς χρόνιοι. ταῦτα μὲν ἐν τοῖς κατὰ περίοδόν τινα πυρέττουσι σκοπεῖσθαι. τῶν δ’ ἄλλων πυρεττόντων οὖρά τε καὶ διαχωρήματα καὶ τὴν ὅλην ἕξιν τοῦ σώματος ὁρᾷν· καὶ τὴν θερμασίαν καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν, ὅσα τ’ ἄλλα πρὸς τούτοις ὁ Ἱπποκράτης τε καὶ ἡ μακρὰ πεῖρα κελεύει σκοπεῖσθαι, χώρας καὶ ὥρας καὶ καταστάσεις καὶ ἡλικίας καὶ κράσεις σωμάτων, ἔθη τε καὶ τὰ προηγησάμενα τῶν αἰτίων καὶ τὰ συνεισβάλλοντα τοῖς νοσήμασι καὶ ὅσα μεταξὺ ἐπιφαίνεται. παρῄνηται μὲν οὖν ὡς ἄν τινι δόξῃ τὸ πᾶν, οὐ μὴν πρός γε τὴν ἀλήθειαν ὧδ’ ἔχει.

11 31 τὸ γάρ τοι μέγιστον μὲν ἁπάντων τούτων, ῥηθῆναι δὲ μικρότατον, οὐδέπω γέγραπται. τί δ’ ἐστὶ τοῦτο; ποσότης νοσήματος καὶ δυνάμεως· πρᾶγμα πρὸς μὲν τὴν δήλωσιν ἑνὸς ὀνόματος δεόμενον· εἰς δὲ τὴν χρείαν μέγιστον. οὐδὲ γὰρ οἷόν τε προγνῶναι καλῶς, ἄνευ τοῦ τὸ ποσὸν ἑκάστου τῶν εἰρημένων ἀκριβῶς ἐκλογίζεσθαι. καὶ γὰρ εἴτ’ ὀλέθριόν ἐστι τὸ νόσημα, εἴτε μὴ, καὶ ὁπηνίκα μᾶλλον δυνατὸν ἢ τεθνήξεσθαι τὸν ἄνθρωπον ἢ ἀπαλλαγήσεσθαι τοῦ πάθους, εἰ μὴ πάντων τῶν προειρημένων τὸ ποσὸν ἀκριβῶς διασκεψάμενος ἀνάγοις εἰς δύο κεφάλαια τήν τε νόσον αὐτὴν καὶ τοῦ νοσοῦντος τὴν δύναμιν, οὐκ ἂν οἷός τ’ εἴης προγνῶναι καλῶς. τῆς μὲν γὰρ δυνάμεως οὕτως ἰσχυρᾶς οὔσης ὡς περιγίγνεσθαι τοῦ νοσήματος, ἀνάγκη σωθῆναι τὸν ἄνθρωπον. εἰ δὲ τοὔμπαλιν εἴη, πάντως τεθνήξεται. μὴ τοίνυν ὁποῖόν τι τὴν ἰδέαν ἐστὶ τὸ νόσημα σκόπει μόνον, ἀλλὰ καὶ πηλίκον. οὐ μικρᾶς δὲ τοῦτό γε δεῖται τριβῆς, τά τ’ ἄλλα καὶ τῷ μήτε γραφῆναι μήθ’ ὅλως διδαχθῆναι λόγῳ δύνασθαι τὸ ποσὸν ἑκάστου. καὶ εἴτι ἄρα τὸ ἡμέτερόν ἐστιν, οὐχ ὑπ’ ἄλλου τινὸς εἰς τοσοῦτον ἀκριβείας ἥκει ἢ ἐκ τοῦ μάλιστα ἠσκῆσθαι περὶ τὸν τῆς ποσότητος στοχασμόν· τοῦτο μὲν δὴ καὶ ἐπ’ αὐτῶν τῶν ἔργων καὶ μαθεῖν καὶ διδάξαι δυνατόν.

11 32 ὅσα δ’ ἐν τῇ ποιότητι τὸν διορισμὸν ἔχει, ταῦτα γράψομεν ἀκριβῶς τε ἅμα καὶ σαφῶς εἰς ὅσον ἐγχωρεῖ διὰ βραχέων. Τὸν μὲν οὖν ἀκριβῆ τριταῖον, ὡς ἂν ὑπὸ τῆς ξανθῆς χολῆς κινουμένης δυναστευόμενον, ὑγραίνειν τε καὶ ψύχειν εἰς τοσοῦτον, εἰς ὅσον ἂν οἷόν τε μάλιστα. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματά ἐστι, κολάζοντα μὲν τὸ ὑπερβάλλον, ἀντεισάγοντα δὲ τὸ λεῖπον. ὁ δὲ τῆς ξανθῆς χολῆς χυμὸς ἁπάντων τῶν ἐν τῷ σώματι χυμῶν θερμότατος καὶ ξηρότατός ἐστι. προτρέπειν οὖν χρὴ τὸν μὲν εἰς τὴν γαστέρα συῤῥέοντα, κενοῦσθαι δι’ ἐμέτων· τὸν δὲ κάτω ὑπιόντα ὡσαύτως διὰ τῆς κάτω ἐκκρίσεως· τοῦτο μὲν δὴ καὶ αὐτόματον ἐν τοῖς ἀκριβέσι γίνεται τριταίοις. καὶ τοῖς οὔροις δὲ καὶ τοῖς ἱδρῶσι ποδηγεῖν· ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν κάτω τῆς χολῆς κάθαρσις. ἀλλὰ τὴν μὲν γαστέρα μαλακοῖς κλύσμασι κενοῦν· τὰ οὖρα δὲ προτρέπειν σελίνου τε καὶ ἀνήθου τοῖς πόμασιν ἐναποβρέχοντα.

11 33 καὶ ἥν σοι πέψεως σημεῖα προφαίνηται, θαῤῥῶν ἤδη καὶ τοῦ ἀψινθίου διδόναι· τοῦτο μὲν δὴ καὶ ἄλλως μέγιστον ἴαμα τοῦ στομάχου διὰ χολῆς δῆξιν καὶ μᾶλλον εἰ τῆς κόμης αὐτοῦ λαμβάνων ὅσον αὔταρκες ἐναποβρέχοις μελικράτῳ. λουτρὰ δὲ θερμὰ δι’ ὕδατος ποτίμου τὸ μέν τι κενοῖ τῆς χολῆς ἀπάγοντα, τὸ δέ τι καὶ τῇ ποιότητι μεγάλως ὀνίνησιν· ὑγραίνει γὰρ καὶ ψύχει κατὰ δύναμιν, ὅσα τοιαῦτα λουτρά. τὰ δὲ θαλάττια καὶ ἁλμώδη καὶ νιτρώδη καὶ θειώδη πλεῖον μὲν ἀπάγει τῆς χολῆς, πολὺ δ’ ἧττον ὠφελεῖ τῶν ποτίμων. ἄμεινον δ’ εἰπεῖν, οὐδ’ ὠφελεῖν αὐτὰ μειζόνως βλάπτοντα ταῖς ποιότησιν ἢ βοηθοῦντα ταῖς κενώσεσιν. ἀτὰρ οὖν καὶ οἶδά τινα κιβδήλῳ λογισμῷ τοιοῖσδε χρήσασθαι λουτροῖς ἀναπεισθέντα· εἶτα ξηρανθέντα τὴν ἕξιν τοῦ σώματος; εἰς τοσοῦτόν τε διαφθαρέντα, ὥστε μαρανθεὶς ἀπέθανεν. ἐπέτεινε δὲ αὐτῷ καὶ ἡ ἄλλη πᾶσα δίαιτα πρὸς τὴν κένωσιν τῆς χολῆς. ἀεὶ δὲ χρὴ ποιότητας ἐναντίας τῇ κρατούσῃ παρὰ φύσιν ἀντεισάγειν· καὶ ὡς τὸ πολὺ βέλτιον τοῦτο τοῦ κενοῦν ὁπωσοῦν· ὅπερ οὔτ’ αὐτὸς ἐγίνωσκεν, οὔθ’ ἑτέρων ἐμάνθανε λεγόντων.

11 34

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔν τε οὖν τοῖς λουτροῖς οὗτος ὁ σκοπὸς γιγνέσθω, διαβρέξαι τε καὶ ὑγρᾶναι τὸ σῶμα· καὶ διὰ τοῦτο μήτε νίτρου μήθ’ ἁλῶν μήτε νάπυος προσπάττειν, οἷα δὴ τοὺς πλείστους ἐστὶν ἰδεῖν λυμαινομένους τοῖς ἀῤῥώστοις, ἀλλ’ ὅτι μάλιστα θερμὸν ἔλαιον περιχέοντας ἐμβιβάζειν τε τῷ ὕδατι καὶ διαβρέχεσθαι, καὶ εἴ γ’ ἐθέλοιεν νήχεσθαι ἐν αὐτῷ, συγχωρεῖν αὐτοῖς εἰς ὅσον δύνανται. τοὺς δὲ φιλολουτροῦντας, οὐδ’ εἰ δὶς τῆς ἡμέρας λούειν ἐθέλοις, ἁμαρτάνοις· ἀλλ’ ἐν καιρῷ μάλιστά σοι τοῦτο μνημονευέσθω. εἰ δὲ καὶ πέψεως τῆς νόσου σημεῖα φαίνοιτο, κἂν εἰ πλεονάκις λούοις, οὐκ ἂν ἁμάρτοις. οἴνου δὲ πρὶν μὲν πέττεσθαι τὸ νόσημα παντάπασιν εἴργειν, ἀρξαμένου δὲ πέττεσθαι, λεπτὸν καὶ ὑδαρῆ καὶ ὀλίγον τὴν πρώτην διδόναι· πλησίον δ’ ἤδη τοῦ λύεσθαι γενομένου πλείονα. σιτία δὲ ὅσα ὑγραίνει τε καὶ ψύχει, πάντα χρήσιμα τριταίοις ἀκριβέσι. τὸ δὲ ποσὸν ἐν αὐτοῖς τοσοῦτον ὅσον πλεῖστον καλῶς πέψαι δύνανται. λαχάνων μὲν ἀτράφαξίς τε καὶ βλίτον καὶ λάπαθον καὶ μαλάχη καὶ θριδακίνη καὶ κολοκύνθη. τῶν δ’ ἄλλων ὅ τε πτισάνης χυλὸς καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα, καὶ ἰχθύων οἱ πετραῖοι, καὶ τῶν πτηνῶν τὰ μαλακόσαρκα, καὶ τῶν μὴ τοιούτων τὰ πτερά. [15]

11 35 καὶ μὲν δὴ καὶ ἀλεκτρυόνων τοὺς ὄρχεις διδόναι καὶ τῶν συῶν τοὺς πόδας τε καὶ τοὺς ἐγκεφάλους· τῶν μικροτέρων δὲ εἰ καὶ τὰς σάρκας δοίης τακερὰς, οὐδὲν βλάψειας. ἀλλὰ καὶ ὠὰ συγχωρεῖν ῥοφεῖν καὶ μάλιστα τὰς λεκίθους· ῥᾷον γὰρ αὗται πέπτονται τοῦ λευκοῦ. καὶ τῶν ὀπωρῶν δέ γε συγχωρεῖν γεύεσθαι, τῶν γε μὴ παντάπασι δυσπέπτων. ἀπέχειν δὲ μέλιτός τε καὶ νάπυος καὶ ταρίχου καὶ τῶν δριμέων ἁπάντων καὶ οἴνων δὲ τῶν παλαιῶν ἱκανῶς καὶ ὅσοι θερμοὶ φύσει. αὕτη μὲν οὖν ἡ δίαιτα τῶν πολλῶν ἐστόχασταί σοι. ὅσοι δὲ μὴ τρυφῶσι, διαιτητέον ἐστὶ ὡς οἶσθα κᾀμὲ διαιτηθέντα ποτὲ ἐν ἀκριβεῖ τριταίῳ πυρετῷ κατὰ τὸν Ἱπποκράτειον λόγον ἐν χυλῷ πτισάνης ἄχρι κρίσεως. ταῦτα μὲν ἐν τοῖς ἀκριβέσι τριταίοις. Ἐν δὲ τοῖς μὴ ἀκριβέσι προνοεῖσθαι χρὴ μάλιστα καθ’ ὅσον οἷόν τε μήτ’ αὐξῆσαι τὸ νόσημα μήτε καταβαλεῖν τοῦ νοσοῦντος τὴν δύναμιν ἐν χρόνῳ πλείονι ταλαιπωρεῖσθαι μέλλουσαν. [15]

11 36 ἔστι μὲν οὖν χαλεπὸν ἀμφοῖν κρατεῖν, ὡς ἂν τῶν μὲν ἀσιτιῶν ὅσον εἰς τὴν πέψιν τοῦ νοσήματος ὠφελουσῶν, τοσοῦτον ἢ καὶ ἐπὶ πλεῖον ἀδικουσῶν τὴν δύναμιν· τῶν δὲ τροφῶν ὅσον εἰς ῥώμην συντελουσῶν τῷ νοσοῦντι, τοσοῦτον ἐμποδιζουσῶν τὰς πέψεις. ἀλλὰ κᾀνταῦθά σοι γνωστέον, εἰς ὅσον μὲν ἥκει μεγέθους ἡ νόσος, εἰς ὅσον δὲ καὶ ἡ δύναμις αὐτοῦ τοῦ νοσοῦντος· ἵνα πρὸς τὰ μείζονος ἐπικουρίας δεόμενα ἀποβλέπων ἀσιτίαις μὲν ἐν ἰσχυροτέρᾳ τῇ δυνάμει καὶ δυσπέπτῳ νοσήματι θαῤῥαλεώτερον χρήσῃ· τροφαῖς δὲ πλείοσιν ἐν ἀσθενεστέρᾳ μὲν τῇ δυνάμει, νοσήματι δὲ μὴ πάνυ δυσπέπτῳ. ταῦτα μὲν δὴ κᾀν τοῖς ἄλλοις ἅπασι νοσήμασι χρὴ σκοπεῖν. ἐν δὲ τοῖς οὐκ ἀκριβέσι τριταίοις οὐδὲ λούειν εὐθὺς κατ’ ἀρχὰς ἀγαθὸν, ἀλλ’ ἡνίκα ἂν φαίνοιτο ἤδη τὰ σημεῖα τῆς πέψεως, οὐδὲ καθ’ ἡμέραν τρέφειν, ἀλλ’ ἀρκεῖ παρὰ μίαν. ἡσυχία δὲ καὶ θάλψις τῶν καθ’ ὑποχόνδριον αὐτοῖς συμφέρει καὶ ῥοφήματα τὰ εὔπεπτα καὶ κλύσματα τῆς κάτω γαστρὸς μὴ πάνυ μαλακά. καὶ εἰ αἵματος ἀφαιρέσεως δέοιντο, μηδὲ τοῦτο παραλείπειν, ἀλλ’ εὐθὺς κατ’ ἀρχὰς διορισάμενος ἐξ ὧν οἶσθα ἀποχεῖν αἵματος ὅσον τοῖς παροῦσι μέτριον. [15]

11 37 ἡ δ’ ὅλη τῆς διαίτης κατάστασις οὐ ψύχουσα καὶ ὑγραίνουσα τὸ σύμπαν σῶμα ὡς ἐπὶ τῶν ἀκριβῶν ἐστι τριταίων, ἀλλά τι καὶ τοῦ τμητικωτέρου καὶ τοῦ θερμοτέρου τρόπου προσεπιλαμβανέσθω. μάλιστ’ οὖν ἁρμόσειεν αὐτοῖς ὁ τῆς πτισάνης χυλὸς ἐμβαλλομένου πεπέρεως· ἢ καὶ ὑσσώπου ποτὲ καὶ ὀριγάνου ἢ στάχυος νάρδου ἐμβαλὼν μελικράτῳ καὶ συναφεψῶν διδόναι πίνειν καὶ τἄλλα δ’ ὅσα οὖρα κινεῖ πλὴν τῶν ἄκρως θερμαινόντων τε καὶ ξηραινόντων. μάλιστα δὲ τοῦ ἀψινθίου διδόναι συνεχέστατα μετὰ τὴν ἑβδόμην ἡμέραν. καὶ μὲν δὴ καὶ ὀξύμελι πολλοὺς ὤνησε πινόμενον καί τι τῶν ἐπιεικῶν ὑπηλάτων, οἷς οἶσθα καὶ ἡμᾶς χρωμένους συνεχῶς. ὁ δὲ ἐπὶ τοῖς σιτίοις ἔμετος εἰς τοσοῦτον ἄρα τοῖς ἐν τῷδε πυρετῷ χρονίζουσι χρήσιμος, ὥστε πολλοὺς οἶδα τελέως ἀπαλλαγέντας εὐθέως ἐπὶ τοῖς ἐμέτοις. Ἑξῆς

δὲ περὶ τῶν τεταρταίων ἐροῦμεν, οὓς καὶ αὐτοὺς κατ’ ἀρχὰς μετρίως τε καὶ πρᾴως ἄγειν χρὴ, μήτε φάρμακόν τι τῶν ἰσχυρῶν μηδὲν προσφέροντας μήτε κένωσιν, εἰ μή τι ἄρα πάνυ σφόδρα φαίνοιτο πλεονάζον αἷμα. [15]

11 38 καὶ εἰ διελόντι φλέβα τὸ ῥέον εἴη μέλαν καὶ παχὺ, μάλιστα δ’ ἐν τοῖς σπληνώδεσι τοιοῦτον εὑρίσκεται, θαῤῥεῖν τῇ κενώσει· ξανθοῦ δὲ καὶ λεπτοῦ φανέντος, ἐπέχειν αὐτίκα. τέμνειν δὲ φλέβα ἤτοι τὴν ἐντὸς ἢ τὴν μέσην ἀγκῶνος ἀριστεροῦ, καὶ δίαιταν ἐφεξῆς ἄφυσόν τε καὶ χρηστὴν διαιτᾶσθαι, μαλάττοντας τὴν γαστέρα, καθ’ ὅσον οἷόν τε διὰ τῶν συνηθῶν. εἰ δὲ μηδὲν ἀνύοι ταῦτα, κλύσμασι χρῆσθαι κατ’ ἀρχὰς μὲν μαλακοῖς, ὕστερον δὲ καὶ δριμυτέροις. χοιρείων δ’ εἴργειν αὐτοὺς κρεῶν καὶ πάντων ὅσα γλίσχρα καὶ βραδύπορα καὶ τῶν ψυχόντων καὶ τῶν ὑγραινόντων ἐδεσμάτων ἁπάντων, οἴνῳ δὲ χρῆσθαι λευκῷ τε καὶ λεπτῷ καὶ συμμέτρως θερμῷ. καὶ πτηνῶν τοῖς εὐχύμοις καὶ οὐχ ἑλείοις· καὶ ἰχθύων τοῖς εὐπέπτοις τε καὶ μαλακοσάρκοις καὶ μηδὲν γλίσχρον ἔχουσι. καὶ ταρίχει δὲ χρῆσθαι καὶ νάπυϊ καὶ δι’ ἡμερῶν τινων τῆς διὰ τριῶν πεπέρεων προσλαμβάνειν ἢ τοῦ διοσπολιτικοῦ φαρμάκου· καὶ εἰ πεπέρεως μόνου σὺν ὕδατι καθ’ ἑκάστην ἡμέραν λαμβάνοιεν, ὀρθῶς ἂν ποιοῖεν. [15]

11 39 τρίψεων δὲ καὶ περιπάτων καὶ λουτρῶν καὶ τῶν ἄλλων τῶν συνηθῶν μὴ παντελῶς εἴργειν. εἰ δὲ καὶ παντάπασιν ἀπέχεσθαι λουτρῶν δύναιντο, ταῖς τρίψεσιν ἀρκούμενοι μάλιστ’ ἂν ὀνίναιντο. καὶ εἰ βραχὺς εἴη καὶ μὴ πάνυ βίαιος ὁ τεταρταῖος πυρετὸς, ἐν ταῖς μέσαις τῶν ἡμερῶν οὐδὲν χεῖρον ἅπτεσθαι τῶν συνηθῶν γυμνασίων. ταῦτα μὲν δὴ κατὰ τὰς ἀρχὰς καὶ μέχρι τῆς ἀκμῆς πρακτέον. εἰ δ’ ἐν ἀκμῇ μάλιστά που δοκοίη τοῦ νοσήματος εἶναι ὁ κάμνων, τότε χρὴ διαιτᾷν μὲν λεπτότερον ἢ πρόσθεν τε καὶ ὄπισθεν· εὐθὺς δὲ καὶ ἡσυχάζειν εἰς μακρὸν κελεύειν· καὶ τῶν σπλάγχνων προνοεῖσθαι, καταιονῶντά τε καὶ καταπλάττοντα τοῖς μαλάττειν τε καὶ χαλᾷν δυναμένοις. ἐφεξῆς δὲ τοῖς διουρητικοῖς καλουμένοις χρῆσθαι φαρμάκοις· καὶ εἰ τὰ τῆς πέψεως τοῦ νοσήματος σημεῖα φαίνοιτο, καθαίρειν τηνικαῦτα τοῖς τοὺς μέλανας χυμοὺς κενοῦσι φαρμάκοις χρὴ οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πολλάκις, ἢν οὕτως δέῃ. χρῆσθαι δὲ καὶ τοῖς ἀπὸ τῶν σιτίων ἐμέτοις τηνικαῦτα συνεχῶς, καὶ μηδενὸς κωλύοντος ἐλλέβορον λευκὸν διδόναι τὴν πρώτην ἐπιμιγνύντα ῥαφανίσιν· εἰ δὲ μηδὲν ἀνύει καὶ αὐτὸν τὸν ἐλλέβορον. [15]

11 40 οἷς δ’ ἐμεῖν ἀδύνατον, τούτους σφοδρότερον καθήσαντας κάτω τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου πίνειν διδόναι καὶ τῶν ἄλλων ὅσα πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετούς· ἐν οἷς ἐστι καὶ τὸ σύνηθες ἡμῖν ἁπάντων δοκιμώτατον, ὀποῦ τοῦ Κυρηναϊκοῦ λαμβάνον. ὅσοι δὲ κατ’ ἀρχὰς τῶν τοιούτων τι φαρμάκων ἔδοσαν ἢ ὅλως πρὸ τῆς ἀκμῆς, ἁπλοῦν μὲν ὄντα τὸν τεταρταῖον διπλοῦν πολλάκις ἐποίησαν, ἢ πάντως μείζονά τε καὶ χαλεπώτερον εἰργάσαντο· διπλοῦν δὲ ὄντα τριπλοῦν ἐποίησαν, ἢ πάντως γε τοὺς δύο χαλεπωτέρους τε καὶ μείζονας. οἶδα δέ τινα ἰατρὸν, ὅστις ἐτόλμησεν ὑπὸ τριῶν ἐχομένῳ τεταρταίων δοῦναι τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου οὔπω τοῦ νοσήματος ἀκμάζοντος· εἶτα οἷα εἰκὸς αὐξηθέντων ἁπάντων συνεχὴς διαδεξάμενος πυρετὸς ἀπέκτεινε τὸν ἄνθρωπον. Ἀμφημερινὸν δὲ θεραπεύων ὀξυμέλιτί τε χρῶ κατὰ τὰς πρώτας ἡμέρας καὶ τοῖς οὖρα καλῶς προτρέπειν δυναμένοις καὶ τὸ σύμπαν σοι τῆς διαίτης κεφάλαιον τμητικώτερον ἔστω. [15]

11 41 περὶ δὲ τὴν ἀκμὴν προνοεῖσθαι χρὴ τῆς γαστρὸς, μάλιστα δὲ τοῦ στόματος αὐτῆς. κᾄπειτ’ ἐμεῖν ἀπό τε ῥαφανίδων καὶ σιτίων κελεύειν καὶ τοῖς φλέγμα κενοῦσιν ὑπηλάτοις χρῆσθαι. τὰ δ’ ἄλλα τῆς διαίτης πρὸς τοὺς κοινοὺς ἀποβλέπων σκοποὺς ἐξευρήσεις. Τοὺς δὲ συνεχεῖς πυρετοὺς, οἷς μὲν ἡ ἀκμὴ τοῦ νοσήματος οὐ ποῤῥωτέρω τῆς ἑβδόμης ἔσεσθαι μέλλοι καὶ ἔστιν ἡ δύναμις ἰσχυρὰ καὶ τὰ τῆς ἡλικίας ὁμολογεῖ, τούτους μὲν ἀκριβῶς τε πάνυ διαιτᾷν καὶ λεπτῶς. ὅσοις δ’ ἤτοι πoῤῥωτέρω τῆς ἑβδόμης ἡ ἀκμὴ τοῦ ὅλου νοσήματος ἢ τὰ τῆς δυνάμεως οὐκ εὔρωστα, κατ’ ἀρχὰς μὲν ἁδρότερον, ἐγγὺς δὲ τῆς ἀκμῆς λεπτότερον, ἀκμαζόντων δ’ ἤδη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λεπτότατον διαιτᾷν. εἶτ᾽ αὖθις ἁδροτέραν ἀεὶ καὶ μᾶλλον ὁμοίαν τὴν αὔξησιν ποιούμενον τῇ πρὸ τῆς ἀκμῆς μειώσει. αἵματος δὲ ἀφαίρεσις διά τε τὸ μέγεθος τοῦ νοσήματος καὶ οἷς πολὺ πλέον ἔρευθός ἐστι τοῦ κατὰ φύσιν καί τις ὄγκος ἀήθης ὅλου τοῦ σώματος μετέωροί τε καὶ τεταμέναι φλέβες, τούτων ἀφαιρεῖν, ἢν μή σε τὰ τῆς δυνάμεως ἢ τὰ τῆς ἡλικίας ἤ τι τῶν ἄλλων ὧν κατ᾽ ἀρχὰς εἶπον ἀπείργει.

11 42 ὑγραὶ δὲ δίαιται ὅτι τοῖς ὀξέσι πυρετοῖς ἅπασι συμφέρουσιν ὀρθῶς εἴρηται πάλαι. πτισάνης τε οὖν χυλὸν οἷς οὐκ ὀξύνεται διδόναι καὶ μελίκρατον οἷς οὐκ ἐκχολοῦται καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα καὶ ἄρτον δι᾽ ὕδατος, ὅσα τ᾽ ἄλλα τῆς αὐτῆς ἢ παραπλησίας ἐστὶ δυνάμεως. τοῖς δ᾽ ἰσχυρῶς θερμοῖς καὶ καυσώδεσιν, ὅταν πρῶτον ἴδῃς τὰ τῆς πέψεως σημεῖα, θαῤῥῶν ὕδατος ἤδη ψυχροῦ διδόναι πίνειν τῆς δόσεως τὸ πλῆθος, μετρῶν ὥρᾳ τε καὶ χώρᾳ καὶ ἡλικίᾳ καὶ φύσει καὶ ἔθει. τοιαύτη μέν τις ἐν τῷ καθόλου φάναι τῶν ἄνευ συμπτωμάτων πυρετῶν ἐπιμέλεια. Τῶν δὲ μετὰ συμπτωμάτων πυρετῶν οὐκ ἔθ᾽ ἁπλῶς οὕτως, ἀλλὰ μετρῆσαι χρὴ καθ᾽ ὅσον οἷόν τε πηλίκος μὲν ὁ πυρετὸς, πηλίκον δὲ τὸ σύμπτωμα τὸ τὸν κίνδυνον ἐπιφέρον, καὶ πρὸς τὸ σφοδρότερον ἐν αὐτοῖς καὶ χαλεπώτερον ἵστασθαι, μηδὲ θατέρου παντάπασιν ἀμελοῦντας. φέρε γὰρ εἴ τις πυρέττοι μὴ τῆς καλουμένης πληθωρικῆς διαθέσεως παρούσης, ἀλλ᾽ ἐξ ἀπεψιῶν τε προσφάτων εἴη καὶ δάκνοιτο καὶ θλίβοιτο τὸ στόμα τῆς γαστρὸς ἢ καὶ χυμόν τινα μοχθηρὸν ἐμημεκὼς εἴη καὶ τῇ τούτου διόδῳ μεγάλως βεβλαμμένος, ὥστε καὶ δυσφορεῖν καὶ ἀλύειν· ἆρ᾽ ἐνταῦθα πρὸς τὸν πυρετὸν ἀποβλέψαντες μόνον κενοῦν ἐπιχειρήσομεν τὸ πλῆθος, ὅπερ ἄλλως ἂν ἀλύπως ἐπράξαμεν; ἢ πρότερον τοῦ στόματος τῆς γαστρὸς προνοησόμεθα, κᾄπειθ᾽ οὕτως, ἐπειδὰν ἡμῖν καλῶς ἔχῃ τοῦτο, τὴν ἐνδεχομένην τοῦ παντὸς σώματος κένωσιν ποιησόμεθα; ἐμοὶ μὲν οὖν οὕτω δοκεῖ.

11 43 πολλάκις γοῦν εἶδον πολλοὺς τῶν τοιούτων, τοὺς μὲν ἀπολλυμένους, τοὺς δ᾽ εἰς ἔσχατον ἀφικομένους κινδύνου, ἐπιχειρησάντων αὐτοὺς κενοῦν τῶν ἰατρῶν, πρὶν ῥῶσαι τὸν στόμαχον. ἀλλ᾽ οὐδὲ εἰ μετὰ διαῤῥοίας ὁ πυρετὸς εἴη, χρήζει τινὸς ἄλλης κενώσεως, ἀλλ᾽ αὐτάρκης αὕτη, κᾂν μὴ κατὰ λόγον ᾖ τοῦ πλήθους. ὅσοι γὰρ τῶν τοιούτων ὡς πλείονος χρῃζόντων ἀφαιρέσεως ἤτοι τοῦ αἵματος ἀπάγειν ἐτόλμησαν ἢ τὴν γαστέρα κινεῖν, ἔτι μᾶλλον ὀξεῖς κινδύνους ἐπήνεγκαν. ἀλλ᾽ οὐδ᾽ εἰ σπώμενός τις ἅμα καὶ κενώσεως αἵματος εἴη χρῄζων, οὐδὲ τούτῳ τοσοῦτον ἀφαιρεῖν προσήκει εἰσάπαξ ὅσου δεῖται τὸ πάθος, ἀλλά τι καὶ τῷ συμπτώματι καταλειπτέον ἱδρῶτάς τε πολλάκις κινοῦντι καὶ ἀγρυπνίας προσφέροντι καὶ τὴν ἰσχὺν καταβάλλοντι τοῦ νοσοῦντος.

11 44 οὕτω δὲ καὶ εἰ ἀγρυπνία σφοδρὰ καὶ εἰ ἄλγημα σύντονον ἐνοχλοίη τὸν νοσοῦντα, φυλακτέον ἀθρόας τε καὶ πολλὰς κενώσεις. οἷον δέ τι σύμπτωμα καὶ τὴν τοῦ περιέχοντος ἀέρος ὑπολογιστέον κρᾶσιν, ὅταν γε ἀκριβῶς ᾖ θερμὴ καὶ ξηρὰ καθάπερ τῆτες ἐν τῷ μεταξὺ κυνὸς ἀνατολῆς καὶ ἀρκτούρου. καὶ διὰ τοῦτο πάντες ἀπέθανον, ὧν οἱ μηδ᾽ ὅλως ταῖς ὥραις προσέχοντες ἰατροὶ τὰς φλέβας τεμεῖν ἐθάῤῥησαν. οὕτω δὲ καὶ εἰ ψυχρά τις εἴη πάνυ σφόδρα, καὶ γὰρ οὖν καὶ τότε φυλακτέον ἀποχεῖν τι τοῦ αἵματος, εἰδότας οὐ μικροὺς ἐν τοῖς τοιούτοις ἀκολουθεῖν κινδύνους. ἀπόλλυνται δ᾽ οἱ μὲν ἐν ταῖς θερμαῖς πάνυ καταστάσεσιν οὐκ ὀρθῶς κενωθέντες ὑπὸ τῆς καλουμένης συγκοπῆς τε καὶ διαφορήσεως. οἱ δ᾽ ἐν ταῖς ψυχραῖς ἐν ἀρχαῖς τῶν παροξυσμῶν καταψυχθέντες σφοδρῶς οὐκέτ᾽ ἀναφέρουσι. ταῦτ᾽ ἄρα καὶ τῶν χωρίων οὔτ᾽ ἐν τοῖς θερμοῖς ἄγαν οὔτ᾽ ἐν τοῖς ψυχροῖς αἵματος ἀφαιρέσει θαῤῥοῦμεν. ἀλλ᾽ ἐὰν μὲν ὁμολογῇ τὰ τῆς ὥρας τῷ χωρίῳ, παντάπασιν ἀπεχόμεθα· μὴ ὁμολογούντων δὲ κενοῦμεν μὲν, ἀλλ᾽ ἔλαττον πολὺ ἢ ὡς εἰ μηδ᾽ ἕτερον ἐκώλυεν.

11 45 οἷον δέ τι σύμπτωμα καὶ τὸ τοῦ νοσοῦντος εὐπαθὲς ὑφορᾶσθαι χρή. πολλοὶ γὰρ οὔτ᾽ ἐκενώθησάν ποτε οὔτε κένωσιν ἀθροωτέραν οὐδεμίαν οὔτ᾽ ἀσιτίαν μακροτέραν φέρουσιν· ἀλλ᾽ οἱ μὲν ἄῤῥωστοι τὴν ἅπασαν ἰσχὺν τοῦ σώματος ἐπ᾽ αὐτοῖς γίνονται ῥᾳδίως· οἱ δ᾽ εὐθὺς τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στόμαχον φαύλως ἴσχουσιν, ὥστε ἀποστρέφεσθαι τὰ σιτία· καὶ εἰ βιασάμενοι λάβοιεν ἢ μὴ κατέχειν ἢ μὴ πέττειν καλῶς. ἐν τούτῳ τῷ μέρει τῆς διαγνώσεως καὶ τὴν κρᾶσιν τοῦ νοσοῦντος θεωρητέον. ὅσοι γὰρ θερμοὶ καὶ ξηροὶ φύσει τυγχάνουσιν ὄντες, οὗτοι πάντες ὑπὸ τῶν ἀθρόων κενώσεων ῥᾳδίως βλάπτονται. καὶ μὲν δὴ καὶ τὸ ἔθος οὐ μικρὰ μοῖρα πρός τε τἄλλα σύμπαντα καὶ οὐχ ἥκιστα πρὸς τὴν τῆς κενώσεως ἔνδειξιν. οἱ μὲν γὰρ οὔτ᾽ ἐκενώθησαν ἔμπροσθεν οὔτε ποτὲ κένωσιν ἀθρόαν ὑπήνεγκαν, παμπόλλοις σιτίοις ἐχρῶντο. τινὲς δ᾽ ἔμπαλιν οὔτε πολλοῖς χρῶνται σιτίοις καὶ κενώσεων ἐθάδες εἰσί. τούτους μὲν οὖν ἀδεῶς κενωτέον, ὅταν γε καὶ τἄλλα ὑπαγορεύῃ. τοὺς δ᾽ ἑτέρους τοὺς ἀήθεις οὐδ᾽ εἰ τἄλλα σύμπαντα προτρέποιτο. [15]

11 46 κατὰ ταὐτὰ δὲ καὶ τὰς ἕξεις τοῦ σώματος χρὴ σκοπεῖσθαι. τοῖς μὲν γὰρ πυκνὴν καὶ στερεὰν ἔχουσι τὴν σάρκα δυσπαθὴς ἡ ἕξις. ὥστ᾽ οὐδὲν χρὴ δεδιέναι κενοῦν αὐτοὺς εἰσάπαξ, ἤν γε καὶ τἄλλα κελεύῃ. τοῖς δὲ μαλακήν τε καὶ βρυώδη καὶ διαῤῥέουσαν ἑτοίμως εὐπαθής ἐστι δεινῶς. ὥστε τῶν γε τοιούτων οὐδ᾽ εἰ πάντα τἄλλα κελεύοι, τοῦ αἵματος ἀποχεῖν οὐδὲ τότε τολμητέον, ἀλλὰ καὶ ταῖς ἄλλαις κενώσεσι καθ᾽ ὅσον οἷόν τε μετρίως τε καὶ εὐλαβῶς χρηστέον. ὁμοίως δὲ καὶ ὅσοι παχεῖς ὑπερβαλλόντως ἢ ἰσχνοὶ, καὶ γὰρ καὶ τούτων τάς τε φλέβας τέμνειν φυλακτέον καὶ τὰς ἄλλας κενώσεις τὰς ἀθρόας εὐλαβητέον. εἴη δ᾽ ἂν ἐν τούτοις καὶ ἡ ἡλικία, καθάπερ τι σύμπτωμα κωλυτικὸν ἀθρόας κενώσεως· οὔτε γὰρ οἱ παῖδες οὔθ᾽ οἱ γέροντες ἀλύπως αὐτὰς φέρουσι. πάντας οὖν τοὺς εἰρημένους, ὅταν αἱ διαθέσεις κένωσιν ὑπαγορεύωσιν, οὐχ ἅπαξ οὐδ᾽ ἀθρόως, ἀλλὰ κατὰ βραχὺ κενωτέον, ἀσιτίαις τε συμμέτροις καὶ τρίψεσι καὶ κλύσμασι μαλακοῖς, καταιονήσεσί τε καὶ καταπλάσμασι καὶ βαλανείοις· ἑκάστου πάλιν τούτων τὴν ἔνδειξιν ἀπὸ τῶν προειρημένων λαμβάνοντας. [15]

11 47 οὕτω δὲ καὶ εἰ δύο ποτὲ συμπτώματα ἐναντία παρακολουθοίη, σκέπτεσθαι χρὴ, ὁπότερον αὐτῶν ἰσχυρότερόν ἐστιν. ὡσαύτως δὲ καὶ εἰ νοσήματα δύο περὶ τὸν αὐτὸν ἄνθρωπον εἴη, μαχομένας τὰς ἐνδείξεις ποιούμενα· καὶ γὰρ καὶ τότε πρὸς τὸ κατεπεῖγον ἵστασθαι χρὴ, μηδὲ θατέρου παντάπασιν ἀμελοῦντας. τὰς δ᾽ ἀπὸ τῶν συμπτωμάτων τε καὶ νοσημάτων ἐνδείξεις οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὴν ἐργαζομένην ἕκαστον αἰτίαν χρὴ σκοπεῖν, οἷόν ἐστι ἡ λειποθυμία καὶ ἡ ἔκλυσις. εἰώθασι γὰρ οἱ ἰατροὶ καθ᾽ ἑνὸς πράγματος ἄμφω ταῦτα τὰ ὀνόματα φέρειν· αὐτὸ μὲν οὖν τὸ πρᾶγμα ἕν ἐστιν, αἰτίαι δ᾽ αὐτοῦ πολλαί. λειποθυμοῦσι γὰρ ἐπί τε χολέραις καὶ διαῤῥοίαις καὶ δυσεντερίαις καὶ λυεντερίαις καὶ γυναικείῳ ῥῷ καὶ τραύμασιν, αἱμοῤῥοΐσι τε καὶ ἀναγωγαῖς αἵματος καὶ ταῖς διὰ ῥινῶν αἱμοῤῥαγίαις καὶ λοχείαις καθάρσεσιν ἀμέτροις. ἤνεγκε δέ ποτε καὶ ἀπεψία μεγάλη λειποθυμίαν καὶ μάλισθ᾽ ὅταν ἀμετρότερον ὑπαγάγῃ τὴν γαστέρα. καὶ ὁ βούλιμος δὲ καλούμενος οὐδὲν ἄλλο ἢ λειποθυμία ἐστί. καὶ ὑστερικῆς πνίξεως ἁπάσης λειποθυμία προηγεῖται· καὶ ταῖς ἀναδρομαῖς τῶν ὑστέρων ἕπεται καὶ ταῖς παρεγκλίσεσι δὲ καὶ ταῖς φλεγμοναῖς αὐτῶν πολλάκις ἀκολουθεῖ. [15]

11 48 προηγεῖται δ᾽ ἀποπληξίας τε καὶ κακοήθους ἐπιληψίας καὶ διαφορήσεων καὶ τῶν συγκοπῶν καὶ μαρασμῶν. ἀλλὰ καὶ συνεισβάλλει ποτὲ καταβολαῖς πυρετῶν οὐκ ὀλίγαις καὶ μάλισθ᾽ ὅταν ἄκρως ᾖ ξηρὸν καὶ αὐχμῶδες ἢ πληθωρικὸν ἀμέτρως τὸ σῶμα. καὶ καυσώδει δὲ καὶ κακοήθει πυρετῷ συνεισέβαλέ ποτε· καὶ τοῖς μεγάλως καταψυχθεῖσι τὰ ἄκρα τοῦ σώματος ἐν ταῖς εἰσβολαῖς τῶν πυρετῶν· καὶ ὅσοι διὰ μέγεθος φλεγμονῆς ἢ ἥπατος ἢ κοιλίας ἢ στομάχου πυρέσσουσι, καὶ οὗτοι λειποθυμοῦσι κατὰ τὰς ἀρχὰς τῶν παροξυσμῶν· μάλιστα δ᾽ οἷς πλῆθος χυμῶν ὠμῶν καὶ ἀπέπτων καί τις ἔμφραξις ἐπικαίρου μορίου. λειποθυμοῦσι δὲ καὶ ὅσοις τὸ στόμα τῆς γαστρὸς ἄῤῥωστον, ἢ ὑπὸ μοχθηρίας χυμῶν δάκνεται ἢ ὑπὸ παχέων ἢ γλίσχρων ἢ ὑγρῶν ἢ ψυχρῶν βαρύνεται. καὶ μὲν δὴ καὶ ψυχικῶν παθῶν ἰσχύϊ λειποθυμοῦσί τινες· μάλιστα δὲ πρεσβῦται πάσχουσιν αὐτὸ καὶ οἱ ἄλλως ἀσθενεῖς. καὶ γὰρ λυπηθέντες αὐτῶν πολλοὶ καὶ χαρέντες καὶ θυμωθέντες ἐλειποθύμησαν. [15]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 49 ἀλλὰ καὶ νοτίδες ἔσθ’ ὅτε μὴ κατὰ καιρὸν τοῖς οὕτως ἔχουσιν ἐπιφαινόμεναι λειποθυμίας ἐπιφέρουσιν, ὥσπερ καὶ τοῖς ἰσχυροτέροις ἱδρῶτες ἄμετροι. καὶ εἰ ἀπόστημά τι ῥαγείη, βλάπτει τὴν δύναμιν ἰσχυρῶς· καὶ μάλιστα εἰ ῥαγὲν ἀθρόως εἰς κοιλίαν ἢ εἰς στόμαχον ἢ εἰς θώρακα συῤῥέοι. καὶ ἡμεῖς αὐτοὶ τέμνοντες ἀποστήματα εἰ τὸ πῦον ἀθρόως ἐκκενώσωμεν, ἀνάγκη λειποθυμῆσαι· καὶ εἰ καθαίροντες ἢ κλύζοντες ἢ ὁπωσοῦν κενοῦντες, ἀθροώτερον αὐτὸ δράσωμεν· οὐδὲ γὰρ οὐδὲ τὸ ἐν τοῖς ὑδέροις ὑγρὸν καί τοι περιττὸν ὂν καὶ παρὰ φύσιν ἀλύπως ἀνέχεται τὴν ἀθρόαν κένωσιν, ἀλλὰ ἀνάγκη καὶ τότε λειποθυμῆσαι τὸν ἄνθρωπον. ἀλλὰ καὶ διὰ μέγεθος ὀδύνης ἐκλύσεις γίνονται δήξεών τινων ἢ στρόφων ἢ εἰλεῶν ἢ κωλικῆς διαθέσεως ἐξαίφνης ἐμπεσούσης. ἀλλὰ καὶ νεῦρον τρωθὲν καὶ μυὸς κεφαλὴ λειποθυμίαν ἤνεγκε καὶ τὰ ἐν τοῖς ἄρθροις ἕλκη τὰ κακοήθη καὶ τὰ γαγγραινώδη καὶ νομώδη σύμπαντα καί τις ἄμετρος ψύξις ἢ θερμασία καὶ ἡ τοῦ ζωτικοῦ τόνου λύσις. [15]

11 50 αὗται μὲν αἱ τῆς λειποθυμίας αἰτίαι. καθ’ ἑκάστην δὲ αὐτῶν ἡ θεραπεία ἴδιος, καὶ γράψαι νῦν ὑπὲρ πασῶν οὐκ ἐγχωρεῖ. τὰς γὰρ ἐν τοῖς πάθεσι συνεδρευούσας οὐχ οἷόν τε χωρὶς ἐκείνων ἰάσασθαι. τοσοῦτον οὖν ἐν τῷ παρόντι λόγῳ ἐροῦμεν περὶ αὐτῶν, εἰς ὅσον ἄν τις μαθὼν ἱκανὸς εἴη τοῖς ἐξαίφνης ἐμπίπτουσιν ἐνίστασθαι παροξυσμοῖς. οἷον ὅτι τοῖς μὲν χολέραις καὶ διαῤῥοίαις καὶ ταῖς ἄλλαις ταῖς πολλαῖς καὶ ἀθρόαις κενώσεσιν ἐκλυομένοις ὕδωρ τε ψυχρὸν προσραίνειν καὶ τοὺς μυκτῆρας ἐπιλαμβάνειν καὶ ἀνατρίβειν τὸ στόμα τῆς γαστρὸς καὶ κελεύειν ἐμεῖν ἢ σπαράττειν τὸν στόμαχον ἤτοι δακτύλων ἢ πτερῶν καθέσεσιν· ἀλλὰ καὶ χεῖρας καὶ σκέλη καὶ πόδας διαδεῖν· εἶναι δὲ χρὴ καὶ τοὺς δεσμοὺς πλείονας μὲν καὶ σφοδροτέρους ἐν ταῖς χερσὶν, ὅταν διὰ τῶν κάτω μερῶν αἱ κενώσεις γίγνωνται, καθάπερ ἐν ταῖς αἱμοῤῥοΐσι καὶ διαῤῥοίαις ὅσας τε διὰ τῶν ὑστερῶν αἱ γυναῖκες κενοῦνται. τὸ γὰρ τὰ σκέλη τηνικαῦτα σφοδρῶς διαδεῖν ἐπισπᾶταί τι κάτω πολλάκις. ἔμπαλιν δ’ ἐν ταῖς διά τε ῥινῶν αἱμοῤῥαγίαις καὶ τοῖς ἐμέτοις οἱ δεσμοὶ πλείονές τε καὶ σφοδρότεροι κατὰ τὰ σκέλη γιγνέσθωσαν. [15]

11 51 καὶ μὲν δὴ καὶ ὅσοις ἐπὶ τρώμασιν αἱμοῤῥαγοῦσιν, ὡσαύτως ἄνω μὲν ἐπὶ τοῖς κάτω· κάτω δ’ ἐπὶ τοῖς ἄνω τὰ δεσμὰ περιβάλλειν. ἐξευρίσκειν δέ τι καὶ ἀνάῤῥοπον σχῆμα τῷ μέρει, μὴ μέντοι πάνυ σφόδρα· τεινόμενον γὰρ ἐν τῷδε καὶ πονοῦν οὐδὲν ἧττον ἢ εἰ κατάῤῥοπον ἦν παροξύνεται. τὸ δὲ σύμπαν ἢ ἐπὶ τὰ κοινὰ ἀντισπᾷν τοῖς πεπονθόσιν ἢ ἐπὶ τὰ τῆς κενώσεως κατάρξαντα· διὰ τοῦτο τὰς μὲν ἐκ τῶν ὑστερῶν ἀθρόας κενώσεις αἱ παρὰ τοὺς τιτθοὺς προσβαλλόμεναι σικύαι τάχιστα παύουσι· τὰς δὲ διὰ τῶν ῥινῶν ἥπατί τε καὶ σπληνὶ κατὰ τὴν αἱμοῤῥαγοῦσαν ῥῖνα, καὶ εἰ δι’ ἀμφοτέρων ἀθρόον καὶ πολὺ φέροιτο, τοῖς σπλάγχνοις ἀμφοτέροις προσβάλλειν. ἰᾶται δὲ καὶ οἶνος ὕδατι ψυχρῷ κεκραμένος τὰς ἐπὶ ταῖς ἀθρόαις κενώσεσιν ἐκλύσεις καὶ μάλιστα τῶν εἰς τὴν γαστέρα ῥεπόντων ῥευμάτων. ἐπισκοπεῖσθαι δὲ ἢν μή τι κωλύῃ τὴν τοιαύτην δόσιν, οἷον εἰ σπλάγχνον τι φλεγμαῖνον ἢ κεφαλῆς ἄλγημα σφοδρότερον ἢ παρακρουστικόν τι πάθος ἢ πυρετὸς καυσώδης ἐν ἀπέπτῳ νοσήματι. μεγάλαι γὰρ ἐν τοῖς τοιούτοις καὶ σχεδὸν ἀνίατοι ταῖς τῶν οἴνων πόσεσιν ἕπονται βλάβαι. [15]

11 52 μηδενὸς δὲ κωλύοντος, ἐφεξῆς δεῖ διορίζεσθαι τήν τε φύσιν τοῦ νοσοῦντος καὶ τὸ ἔθος καὶ τὴν ἡλικίαν καὶ τὴν τοῦ περιέχοντος ἀέρος κρᾶσιν· εἰς ταῦτα γὰρ ἀποβλέπων ἢ θερμὸν ἢ ψυχρὸν δώσεις τὸ πόμα. τοὺς μὲν γὰρ ἀήθεις ψυχροῦ πόματος ἢ καὶ φανερῶς βλαπτομένους ὑπ’ αὐτοῦ καὶ ὅσοι φύσει ψυχρότεροι καὶ τοὺς ἐν ἐσχάτῳ γήρᾳ ἢ καὶ χωρίῳ ψυχροτέρῳ φύσει ἢ καὶ χειμῶνος εἴργειν τοῦ ψυχροῦ. τοῖς δ’ ἐναντίως ἔχουσιν ἀδεῶς διδόναι πίνειν. ἔστω δὲ καὶ οἶνος ἐπὶ μὲν τοῖς εἰς τὴν γαστέρα ῥεύμασι θερμός τε καὶ λεπτὸς, οἷος ὁ Λέσβιος. ἐπὶ δὲ ταῖς αἱμοῤῥαγίαις παχύς τε καὶ μέλας καὶ στρυφνός. ἐπὶ δὲ τοὺς τόπους αὐτοὺς ἐπιτιθέναι, γαστρὶ μὲν καὶ μήτρᾳ καὶ στομάχῳ καὶ θώρακι τὰ τονοῦν πεφυκότα. κεφαλῇ δὲ καὶ μετώπῳ καὶ ταῦτα καὶ τὰ ψύχοντα. καὶ ἐφ’ ὧν ἐπιπολῆς καὶ κατὰ τοὺς μυκτῆρας φλεβῶν εἴη τις ἐῤῥωγυῖα, τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεχόντων φαρμάκων τὸ αἷμα ἐπιτιθέναι. λουτρὰ δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν ἐπιτηδειότατα· τὰς δ’ αἱμοῤῥαγίας δεινῶς παροξύνει. [15]

11 53 καὶ ὅσοι διὰ πλῆθος ἱδρώτων λειποθυμοῦσι, καὶ τούτοις ἐναντιώτατα, χρὴ γὰρ αὐτῶν στύφειν τε καὶ ψύχειν, οὐ χαλᾷν τὸ δέρμα. καὶ τὸν οἶνον ψυχρὸν μάλιστα διδόναι τούτοις καὶ μηδὲν ὅλως προσφέρειν θερμόν. ἀλλὰ μηδὲ διαδεῖν τὰ κῶλα, μήδ’ ἀναγκάζειν ἐμεῖν, μηδὲ κινεῖν ὅλως. καὶ πνευμάτων εἰσόδους ψυχόντων ἐπιτεχνᾶσθαι καὶ τὸν ἀέρα τοῦ οἴκου τρέπειν εἰς ψύχουσάν τε καὶ στρυφνὴν ποιότητα, μυρσίναις τε καὶ ἀμπέλων ἕλιξι καὶ ῥόδοις καταστρωννύντα τοὔδαφος· τούτων οὐδὲν χρήσιμον τοῖς εἰς τὴν γαστέρα ῥεύμασιν, αὔξεται γὰρ εἰς ὅσον ἂν πυκνωθῇ τὸ δέρμα. τοῖς μὲν οὖν ἐπὶ ταῖς κενώσεσιν ἐκλυομένοις οὕτω βοηθεῖν ἔν γε τῷ παραχρῆμα. τοῖς δ’ ἐπὶ πλήθεσιν οὐκ ἔθ’ ὁμοίως, ἀλλὰ τρίβειν ἐπὶ πλεῖστον ἐπ’ ἐκείνων τὰ κῶλα καὶ θερμαίνειν καὶ διαδεῖν. οἴνου δὲ καὶ τροφῆς ἀπέχειν καὶ λουτρῶν, εἰ πυρέττοιεν· ἀρκεῖ δ’ αὐτοῖς μελικράτου τε διδόναι πόμα ἢ θύμου ἢ ὀριγάνου ἢ γλήχωνος ἢ ὑσσώπου ἔχοντος ἐναφηψημένον. ἐπιτήδειον δὲ καὶ ὀξύμελι. [15]

11 54 καὶ τὰς ἐφ’ ὑστέραις δὲ πεπονθυίαις ἐκλυομένας ὡσαύτως ἰᾶσθαι, πλὴν ὀξυμέλιτος, καὶ διαδεῖν καὶ τρίβειν σκέλη μᾶλλον ἢ χεῖρας. καὶ ὥσπερ ἐπ’ ἐκκρίσει πολλῇ παρὰ τοὺς τιτθοὺς σικύας ἐπιτίθεμεν, οὕτως αἷς ἀνέσπασται καὶ παρέσπασται, βουβῶσί τε καὶ μηροῖς προσάξομεν. καὶ ταῖς μὲν ῥισὶν ὀσφραντὰ δυσωδέστατα, ταῖς δὲ μήτραις εὐώδη. καὶ τὰ χαλᾷν καὶ θερμαίνειν δυνάμενα φάρμακα προσοίσομεν. εἰ δ’ ἄῤῥωστος ὁ στόμαχος εἴη καὶ ταύτῃ λειποθυμοῖεν, ἐπιπλάττειν μὲν τοῖς τονοῦν δυναμένοις, οἷα τά τε διὰ τῶν φοινίκων ἐστὶ καὶ οἴνου καὶ ἀλφίτων καὶ κρόκου καὶ ἀλόης καὶ μαστίχης· ἐπιβρέχειν δὲ τοῖς δι’ ἀψινθίου καὶ μηλίνου καὶ μαστιχίνου καὶ νάρδου καὶ οἰνάνθης καὶ οἴνου. καὶ εἰ ἐκκαίοιντο, μιγνύναι τι καὶ τῶν ψυχόντων, οἷον τῆς τε κολοκύνθης τὸν χυλὸν καὶ τῆς θριδακίνης καὶ τῆς ἀνδράχνης καὶ τοῦ στρύχνου καὶ τῆς σέριος καὶ τοῦ ὄμφακος. οὗτος μέν γε οὐ ψύχει μόνον, ἀλλὰ καὶ στύφει. καὶ ψυχρὸν ὕδωρ τοῖς διακαιομένοις τὸν στόμαχον ὤνησε πολλάκις ἐν καιρῷ δοθὲν, ἄλλως δὲ μεγάλως βλάπτει. καὶ χρὴ μᾶλλον οἴνου θερμοῦ διδόναι τοῖς ἀῤῥώστοις τὸν στόμαχον, εἰ μηδὲν ἄλλο κωλύει· ὤνησε δὲ μεγάλως τοὺς τοιούτους στομάχους καὶ ἡ τῶν ἀκρωτηρίων τρίψις. [15]

11 55 εἰ δ’ ἐπὶ τούτοις βελτίους μὴ γένοιντο, τοὺς μὲν ἐκκαιομένους ἐπὶ λουτρὸν ἄγειν τὴν ταχίστην. ὅσοι δὲ ψύξεώς τινος αἴσθησιν ἔχουσι, τοῦ τε διὰ τριῶν πεπέρεων φαρμάκου καὶ αὐτοῦ τοῦ πεπέρεως μόνου καὶ ἀψινθίου πινόντων. ὅσοι δὲ μοχθηρῶν χυμῶν δακνόντων τὸ στόμα τῆς γαστρὸς ἐκλύονται, διδοὺς ὕδωρ θερμὸν ἢ ὑδρέλαιον ἐμεῖν κελεύειν. εἰ δὲ δυσεμεῖς εἶεν, θάλπειν χρὴ πρότερον αὐτά τε τὰ περὶ τὸν στόμαχον χωρία καὶ πόδας καὶ χεῖρας. εἰ δὲ μηδ’ οὕτως δύναιντο, πτερὰ ἢ δακτύλους καθιέντας ἐρεθίζειν. εἰ δὲ μηδ’ οὕτως, αὖθις αὐτοῖς ἔλαιον θερμὸν ὅτι κάλλιστον δοτέον. εἴωθε δὲ πολλάκις τοὔλαιον οὐκ εἰς ἔμετον μόνον ὁρμᾷν, ἀλλὰ καὶ τὴν γαστέρα λαπάττειν· ἔστι δὲ καὶ τοῦτο οὐ μικρὸν ἀγαθὸν τοῖς παροῦσιν. ὥστ’ εἰ μὴ γένοιτο αὐτόματον, ἐπιτεχνᾶσθαι χρή· μάλιστα δὲ τοῖς προσθέτοις αὐτὸ πειρᾶσθαι δρᾷν· εἰ δὲ ῥᾷον ἐπὶ τοῖσδε γένοιτο, καὶ ἀψινθίου κόμην ἐναφέψων μελικράτῳ διδόναι πίνειν καὶ οἶνον ἐφεξῆς· καὶ παντοίως ῥωννύναι τὰ μόρια διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων καὶ τοῦ ἀψινθίου ταῖς πόσεσιν. [15]

11 56 οὐ μὴν κατ’ ἀρχὰς κελεύω σε τοῦτο ποιεῖν οὕτως, ἀλλ’ ὕστερον, ἡνίκα μὲν ἤδη καθαρὰ τὰ περὶ τὴν κοιλίαν ᾖ· περιεχομένων δ’ ἔτι τῶν χυμῶν ἐν αὐτῇ μηδέπω στύφειν, ἀλλ’ ἀρκεῖ θάλπειν μόνον, ὡς ἔμπροσθεν εἴρηται. φλέγματος δὲ πολλοῦ καὶ ψυχροῦ κατὰ τὸ στόμα τῆς γαστρὸς ἠθροισμένου, καταντλεῖν μὲν ἐπὶ πλεῖστον, ἐλαίῳ συνέψων ἀψίνθιον· ἐφεξῆς δὲ τοῦ μελικράτου διδόναι ἢ ὑσσώπου ἤ τι τῶν ὁμοίων ἀποβρέχων ὀξυμέλιτός τε καὶ πεπέρεως καὶ τοῦ διὰ τριῶν πεπέρεων καὶ τοῦ διοσπολιτικοῦ φαρμάκου. καὶ τὸ σύμπαν σοι τῆς διαίτης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεφάλαιον τμητικὸν ἔστω. τὰς δ’ ἐπὶ ταῖς ἰσχυραῖς ψύξεσιν ἐκλύσεις ὁμοίως τοῖς βουλίμοις ἰᾶσθαι, παντὶ τρόπῳ θερμαίνοντα. τόν τε οὖν οἶνον αὐτοῖς διδόναι θερμῷ κεκραμένον καὶ τροφὰς τὰς θερμαίνειν πεφυκυίας, ἀνατρίβειν τε καὶ θάλπειν παρὰ πυρί. τὰς δ’ ἐπὶ θερμασίᾳ πλείονι γινομένας λειποθυμίας τοῖς ἐμψύχειν τε καὶ τονοῦν δυναμένοις. ἐμπίπτουσι γὰρ αὗται μάλιστα τοῖς ἐν ἀέρι πνιγώδει καὶ βαλανείῳ χρονίσασι. [15]

11 57 ῥώσεις οὖν αὐτοὺς ἐν μὲν τῷ παραχρῆμα τότε ψυχρὸν ὕδωρ προσραίνων καὶ ῥιπίζων καὶ πρὸς ἄνεμον τρέπων καὶ τρίβων τὸ στόμα τῆς κοιλίας καὶ σπαράττων· ἐφεξῆς δ’ ἤδη καὶ οἶνον διδοὺς καὶ τροφάς. τοὺς δὲ διὰ μέγεθος φλεγμονῆς ἢ καὶ κακοήθειαν σφοδροῦ πυρετοῦ λειποθυμοῦντας ἐν ταῖς εἰσβολαῖς καὶ καταψυχομένους τὰ κῶλα τρίβων ἰσχυρῶς καὶ θάλπων καὶ διαδῶν σκέλη τε καὶ χεῖρας, ἐγρηγορέναι τε κελεύων καὶ σιτίου παντὸς ἀπέχεσθαι καὶ πόματος. ἄριστον δ’ ἐπὶ τούτων προγνῶναι τὸ μέλλον ἔσεσθαι καὶ φθάνειν αὐτὰ πράξαντα πρὸ τοῦ παροξυσμοῦ. καὶ τοὺς διὰ ξηρότητα δὲ συγκοπτομένους ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς ἄριστον προγινώσκειν. εἰ γὰρ ὥραις που δύο ἢ τρισὶν ἔμπροσθεν πρὸ τοῦ παροξυσμοῦ θρέψαις, διακρατεῖσθαί τε πόδας καὶ χεῖρας κελεύσειας, οὐκ ἂν ἀπόλοιντο. εἶναι δὲ χρὴ τὰς τροφὰς εὐπέπτους τε καὶ εὐστομάχους. εἰ δὲ καὶ σφοδρὸν τὸν κίνδυνον ὑπονοήσῃς ἔσεσθαι, φθάνειν οἴνου διδόναι καὶ μάλιστ’ εἰς χόνδρον ἑφθὸν τὸν οἶνον ἐπιχέας προσφέρειν. εἰ δὲ καὶ ἄρτον ἀντὶ χόνδρου δοίης, ἶσον δύναται. μετρίας δὲ τῆς συγκοπῆς προσδοκωμένης οὐδὲν οἴνου δεῖ, ἀλλ’ ἀρκεῖ τηνικαῦτα ῥοιῶν ἢ ἀπίων ἢ μήλων ἤ τινος ἄλλης ὀπώρας στυφούσης ταῖς τροφαῖς μιγνύναι. [15]

11 58 καὶ εἰ ἐπὶ τοῖσδε μετρίως τὸν παροξυσμὸν ἐνέγκοιεν, αὖθις τρέφοντας οὐκ ἀναγκαῖον ὀπώραις χρῆσθαι. ταῦτα μὲν πράττειν, εἰ προγνοίης τὸ μέλλον ἔσεσθαι. τοῖς δ’ ἐξαίφνης εἰς τὸν κίνδυνον ἐμπίπτουσιν οἴνου τε διδόναι θερμοῦ καὶ ἄρτου καὶ χόνδρου σὺν αὐτῷ θερμοῦ παντελῶς ὀλίγον. εἰ γὰρ τούτοις πλεῖον δοίης ἢ δυσπεπτότερα σιτία τοῖς οὕτως ἔχουσιν, οὐ συγκοπήσονται μόνον, ἀλλὰ καὶ πνιγήσονται τελέως. τοῖς δὲ δι’ ἔμφραξιν ἐπικαίρου μορίου λειποθυμοῦσιν ὀξύμελί τε διδόναι καὶ τὸ δι’ ὑσσώπου καὶ ὀριγάνου καὶ γλήχωνος καὶ μέλιτος πόμα· καὶ τροφὰς τοῦ τμητικωτέρου τρόπου. τὰ γὰρ παχέα καὶ γλίσχρα μεγάλας ἐν τοῖς τοιούτοις ἐργάζεται βλάβας. ἀλλὰ καὶ τὰ κῶλα τρίβειν τε καὶ διαδεῖν οὐδὲν χεῖρον. ἀγαθὸν δὲ καὶ τοῖς οὖρα κενοῦσι χρῆσθαι πόμασιν, οἷα τά τε δι’ ἀνήθου καὶ μαράθρου καὶ σελίνου καὶ πετροσελίνου καὶ ἄμμεως καὶ δαύκου καὶ νάρδου στάχυος· ἐφ’ οἷς φανερᾶς οὔσης ἤδη τῆς ὠφελείας οἴνῳ χρῆσθαι λευκῷ καὶ λεπτῷ μὴ πάνυ παλαιῷ. [15]

11 59 γνωριεῖς δὲ τὰς τοιαύτας ἐμφράξεις ταῖς τ’ ἄλλαις ἀνωμαλίαις τῶν σφυγμῶν καὶ μάλισθ’ ὅσαι κατὰ μέγεθός τε καὶ μικρότητα καὶ σφοδρότητα καὶ ἀμυδρότητα γίνονται, μὴ παρούσης τῆς καλουμένης πληθωρικῆς συνδρομῆς, εἰσὶ γὰρ κᾀκείνης κοιναί. γίγνονται δὲ καὶ διαλείποντες ἐπὶ ταῖς μεγάλαις τῶν τοιούτων διαθέσεων οἱ σφυγμοί. ταῦτα μὲν οὖν ἐπὶ πλέον ἐν τοῖς περὶ σφυγμῶν λέγεται. νυνὶ δὲ μεταβῶμεν ἐπὶ τὸν περὶ τῶν ὑπολοίπων ἐκλύσεων λόγον· οἷον ὅσαι τε διὰ ῥῆξιν ἀποστήματος ἢ τομὴν γίγνονται καὶ ὅσαι διὰ κένωσιν ἀθρόαν ἐν ὑδέροις. ἀπόχρη δὲ τούτοις ἐν μὲν τῷ παραυτίκα τοῖς ὀσφραντικοῖς ἀνακτήσασθαι· μικρὸν δ’ ὕστερον ῥοφήμασιν εὐπέπτοις χρῆσθαι. εἰ δὲ διὰ λύπην ἢ χαρὰν ἢ φόβον ἢ θυμὸν ἢ ἔκπληξιν ἐκλυθεῖεν, ὀσφρητικοῖς τε καὶ ταῖς τῶν ῥινῶν καταλήψεσιν ἀνακτησάμενον ἐμεῖν ἀναγκάζειν. ὡσαύτως δὲ καὶ τοὺς ἐπὶ τραύμασιν ἢ καθάρσεσιν ἢ ἀλγήμασι τοῖς κατὰ τὰ ἄρθρα καὶ νεῦρα καὶ τῶν μυῶν τοὺς τένοντας ἔν γε τῷ παραχρῆμα δεῖ ἀνακτᾶσθαι· μετὰ δὲ ταῦτα τὴν προσήκουσαν ποιεῖσθαι τοῦ παθήματος θεραπείαν. [15]

11 60 αἱ δ’ ἐπὶ τοῖς κωλικοῖς πάθεσιν ἢ τοῖς εἰλεοῖς ἤ τινι τῶν οὕτω μεγάλας ἐπιφερόντων ὀδύνας ἑπόμεναι λειποθυμίαι ταῖς τε τῶν πεπονθότων μορίων ἀλέαις μάλιστα καθίστανται καὶ ταῖς τῶν ἄκρων τρίψεσιν. τὰς δὲ δι’ ἀῤῥωστίαν οἰκείαν τῶν διοικουσῶν τὸ σῶμα δυνάμεων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκλύσεις ἐπὶ δυσκρασίᾳ τῶν μορίων ἐκείνων γιγνομένας, ὅθεν αἱ δυνάμεις ὁρμῶνται, ταῖς ἐναντίαις δυσκρασίαις ἰᾶσθαι προσήκει, θερμαίνοντας μὲν τὰς ψυχρὰς, ψύχοντας δὲ τὰς θερμὰς, ἐπί τε τῶν ἄλλων ἀνάλογον. ἡ μὲν οὖν ζωτικὴ καλουμένη δύναμις, ἣν ἐκ καρδίας ὁρμωμένην ἐδείξαμεν, ἐκ τῶν ἀμυδρῶν σφυγμῶν γνωρίζεται. ἡ δ' ἐξ ἥπατος μὲν ὁρμωμένη, θρεπτικὴ δ' ὀνομαζομένη, ταῖς αἱματώδεσι διαχωρήσεσι κατ' ἀρχὰς μὲν ὑδατώδεσί τε καὶ λεπταῖς γιγνομέναις, ὕστερον δὲ παχείαις, οἵαπερ ἡ ἀμοργή. τὴν δ' ἀπ' ἐγκεφάλου μὲν ὁρμωμένην δύναμιν ἐξαιρέτως δ' ὑπό τινων ὀνομαζομένην ψυχικὴν, τῇ ἐπὶ τὰς προαιρετικὰς κινήσεις ἀῤῥωστίᾳ γνωρίζομεν.

11 61 ἀλλὰ περὶ μὲν τῶν τοιούτων διαθέσεων ἰδίᾳ σοι γράψομεν ἐν ἑτέρῳ γράμματι, πάμπολλα γάρ ἐστιν ἐν αὐτοῖς παρορώμενα τοῖς ἰατροῖς. Ἐπεὶ δὲ τὸν περὶ τῶν συμπτωμάτων λόγον πεποιήμεθα μέχρι δεῦρο, πάλιν ἐπάνιμεν πρὸς τὰ ἐξ ἀρχῆς ἕνα κοινὸν ἐπὶ πάντων ἔχοντες σκοπὸν, ἐπισκέπτεσθαι τὴν ἐργαζομένην ἕκαστον αὐτῶν αἰτίαν· αὗται γὰρ ἐνδείξονταί σοι τὴν προσήκουσαν ἴασιν. οἷον εἴ τις ἀλγοίη τὴν κεφαλὴν, εἰ μὲν ἀσώδης εἴη καὶ καρδιώττοι, κελεύειν ἐμεῖν, ἐμεῖται γὰρ ἢ χολὴν ἢ φλέγμα ἢ ἄμφω. μηδενὸς δ' ἐπισήμου κατὰ τὴν γαστέρα παθήματος ὑποφαινομένου σκοπεῖσθαι, πότερον πλῆθός ἐστιν ἢ ἔμφραξις ἢ φλεγμονή τινος τῶν ἐν τῇ κεφαλῇ μορίων· εὑρήσεις δὲ πρῶτον μὲν, εἰ δι' ὅλης αὐτῆς ἐκτέταται τὸ ἄλγημα πυνθανόμενος, εἰ κατά τινα τῶν μορίων ἐρείδει σφοδρότερον. ἔπειτα δὲ πότερον μετὰ βάρους ἢ τάσεως ἢ δήξεως ἢ σφυγμοῦ. τὰ γὰρ μετὰ βάρους ἀλγήματα πλῆθος δηλοῖ· τὰ δὲ μετὰ δήξεως ἢ ἀτμῶν ἢ χυμῶν δριμύτητα· τὰ δὲ μετὰ σφυγμοῦ φλεγμονήν· τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ βάρους καὶ σφυγμοῦ καὶ πνεύματος ἀπέπτου καὶ φυσώδους, πλῆθος· εἰ δὲ μετὰ σφυγμοῦ, καὶ φλεγμονὴν ὑμενώδους σώματος· εἰ δὲ μετὰ βάρους, πλῆθος ἐντὸς τῶν ὑμένων ἐνισχόμενον.

11 62 ὅταν οὖν παντάπασι ταῦτα διορισθείη, τὴν ἐργαζομένην ἕκαστον αὐτῶν αἰτίαν σκοπεῖν χρή. ἐκείνη γὰρ ἐνδείξεταί σοι τὴν θεραπείαν· οἷον εἰ πλῆθος εἴη περιεχόμενον ἀτμῶν ἢ χυμῶν, ἐπισκοπεῖσθαι, πότερον διὰ μέγεθος πυρετῶν οἱ χυμοὶ χυθέντες τε καὶ οἱονεὶ ζέσαντες ἐπὶ τὴν κεφαλὴν ὥρμησαν, ἢ διὰ τὴν τοῦ μέρους ἀῤῥωστίαν ἢ διὰ τὴν ἐν παντὶ τῷ σώματι πλησμονήν· ταύτην μὲν γὰρ οὐκ ἂν χαλεπῶς ἰάσαιο ταῖς τοῦ ὅλου κενώσεσι. τὴν δ' ἐπ' ἀσθενείᾳ τοῦ μορίου τὸ μέν τι πάντῃ τοῦ σώματος ἀντισπῶν, τὸ δέ τι ταῖς τοῦ μέρους ἰάσεσιν. ἀντισπάσεις μὲν οὖν κλύσμασί τε δριμέσι καὶ δεσμοῖς καὶ τρίψεσι τῶν κάτω πολλαῖς, καὶ ἢν οὕτω δέῃ, καὶ τοῦ αἵματος ἀπάγων τί. τὸ δὲ μόριον ἐξιάσῃ, καθ' ὃν μὲν καιρὸν ἀντισπᾷς εἰς τὸ ὅλον σῶμα, ταῖς ἀπωθεῖσθαί τι τῆς κεφαλῆς δυναμέναις ἐπιβροχαῖς· μετὰ δὲ ταῦτα ταῖς κενούσαις· εἰς ὕστερον δὲ ταῖς τονούσαις.

11 63 ἀπωθεῖται μὲν οὖν ἔλαιον τὸ καλούμενον ὠμοτριβὲς ἢ ἄλλο τι τῶν τοιούτων παραπλήσιον, οἷον ὀξυρόδινόν τε καὶ ῥόδινον αὐτὸ καθ' αὑτὸ, καὶ ὅσα διὰ τῶν τοῦ μήκωνος κωδιῶν καὶ θαλλῶν ἐλαίας τῶν ἁπαλῶν καὶ κιττοῦ τῶν κορύμβων ἡδυόσμου τε τοῦ χλωροῦ καὶ σισυμβρίου σκευάζεται· χρῆσθαι δ' αὐτοῖς ἐπὶ μὲν ὠμοτέρου τε καὶ ψυχροτέρου πλήθους χλιαροῖς· ἐπὶ δὲ θερμοτέρου καὶ χολωδεστέρου ψυχροῖς. κενοῖ δὲ καὶ διαφορεῖ τὸ θερμὸν ἔλαιον αὐτό τε καθ' αὑτὸ καὶ μᾶλλον εἰ παλαιὸν ἢ σικυώνιον εἴη ἢ καὶ ἄνηθον ἐναφηψημένον ἔχοι· τὸ γὰρ μὴ πάνυ παχείων μήτε γλίσχρων χυμῶν πλῆθος ἱκανῶς διὰ τῶν τοιούτων κενώσεις· ἀλλὰ καὶ ἢν σπονδύλιον ἢ ἕρπυλλον ἐναφέψοις ἢ γλήχωνος κόμην ἢ καλαμίνθης ἢ ἡδυόσμου τε καὶ σισυμβρίου, κενώσεις οὕτω καὶ τὸ παχύτερον. αὐτὰ δὲ ταῦτα καὶ τόνον τινὰ δίδωσι τοῖς μορίοις καὶ ῥώννυσι τὰ ἠσθενηκότα. χρηστέον οὖν αὐτοῖς ἐφεξῆς, μέχρι παντελοῦς ἰάσεως. καὶ εἰ δεήσειε, διά τε ῥινῶν καὶ ὑπερώας καθαίρειν καὶ πταρμοὺς κινεῖν.

11 64 καὶ ἢν ἐπὶ λουτρὸν ἀγάγῃς τὸν ἄνθρωπον, ἀνατρίβειν τε ξηραῖς σινδόσι τὴν κεφαλὴν καὶ χωρὶς ἐλαίου διαπλάττειν, ἁλί τε καὶ νίτρῳ καὶ νάπυϊ. ταῦτα μὲν δὴ τῆς ἐπ' ἀῤῥωστίας τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μορίου κεφαλαλγίας ἰάματα. τῆς δ’ ἐπὶ μεγέθους πυρετῶν, τῆς μὲν ἰαμάτων δεομένης, αἱ ψυχραὶ ποιότητες καὶ δυνάμεις δι’ ὑδρελαίου τε καὶ ὀξυροδίνου καὶ μήκωνος κωδιῶν ἐπιβροχαὶ συγκείμεναι ἁρμόζουσι. τῆς δὲ κρίσιμον αἱμοῤῥαγίαν ἢ ἔμετον δηλούσης ἰάματα μὲν οὐ χρὴ ζητεῖν· οὐδὲ γὰρ σύμπτωμά τι τήν γε τοιαύτην νομιστέον, ἀλλὰ μᾶλλον ἀγαθὸν σημεῖον, ὥσπερ καὶ τἄλλα τὰ πρὸ τῶν κρίσεων ἃ τοὺς μὲν πολλοὺς ἐκφοβεῖ, χρηστὸν δέ τι δηλοῖ. κάλλιστον δὲ δύνασθαι γνωρίζειν σῶμα ταραττόμενον ὑπὸ φύσεως παρασκευαζομένης ἐπί τε τὰς ἄλλας ἐκκρίσεις καὶ οὐχ ἥκιστα τὰς δι’ ἐμέτων τε καὶ αἱμοῤῥαγίας, ὧν ἀχώριστόν ἐστι σημεῖον ἡ κεφαλαλγία. λέγεται δ’ ἐπὶ πλέον μὲν ἑτέρωθι πάντα. τὸ δὲ νῦν εἰδέναι, καθ’ ὅσον ἐγχωρεῖ τὴν ἐξ ἀρχῆς φυλάττοντα προαίρεσιν διὰ συντόμων εἰπεῖν, τὶ περὶ αὐτῶν εἰρήσεται. σκεπτέον οὖν πρῶτον μὲν τὸ τῶν πυρετῶν εἶδος, εἰ θερμοὶ καὶ διακαεῖς.

11 65 ἐκκρίσεσι γὰρ οἱ τοιοῦτοι φιλοῦσι κρίνεσθαι· καθάπερ οἱ μαλακώτεροί τε καὶ οἷον σμυχόμενοι χρονίζουσί τε καὶ εἰς ἀποστάσεις ὁρμῶσι τὰ πολλά. δεύτερον δὲ, εἰ σωτήριόν ἐστι τὸ νόσημα, τίς γὰρ ἀγαθὴ κρίσις ἐν τῷ ὀλεθρίῳ νοσήματι ἐλπισθείη; τρίτον ἐπὶ τοῖσδε τὸν καιρὸν τῆς ὅλης νόσου σκοπεῖν. εἰ γὰρ ἀρχῆς ἢ ἐπιδόσεώς ἐστι σημεῖον μηδέπω δ’ ἀκμῆς μηδὲ πέψεως γνωρίσματα δι’ οὔρων ἢ πτυσμάτων ἢ ἀποπατημάτων, οὐκ ἐνδέχεται κρίσιν ἀγαθὴν γενέσθαι. ταῦτα μέν ἐστιν ἐξ ὧν ἄν τις ἐλπίσειε δι’ ἐκκρίσεως κριθήσεσθαι τὸ νόσημα. τοῦ δὲ νῦν ἤδη καὶ μηκέτι μέλλοντος σημεῖα τάδε· δυσφορία προηγεῖται κρίσεως ἁπάσης· καὶ εἰ μὲν ἐν ἡμέρᾳ μέλλοι κριθήσεσθαι τὸ νόσημα, νύκτωρ· εἰ δ’ ἐν νυκτὶ, δι’ ἡμέρας. εἰ οὖν τοιοῦτόν τι βλέποις, ἐπισκοπεῖσθαι δεῖ πόσην ἄγει τὴν ἀπὸ τοῦ νοσεῖν ἡμέραν ὁ ἄνθρωπος. εἰσὶ γὰρ καὶ αἳ κρίνειν πεφύκασι κᾂν βραχείας ὁρμῆς τῆς φύσεως λάβωνται. πολλοὶ δ’ ἐν μὲν ταῖς σφοδραῖς κινήσεσιν ὅλως οὐ δύνανται τὸ μέγεθος συνορᾷν τῆς ταραχῆς, εἰ κατὰ τὴν φύσιν ἐστὶ τῆς ἡμέρας.

11 66 ἡ μὲν γὰρ ἑβδόμη ἡμέρα καὶ κατὰ τὰς βραχείας παρασκευὰς τῆς φύσεως ἐξορμᾷ πρὸς τὴν διὰ κενώσεως κρίσιν. ἡ δ’ ἕκτη μεγάλης τε δεῖται τῆς παρασκευῆς καὶ πολλάκις μὲν οὐδ’ ἔκρινεν. εἰ δέ γε ἔκρινεν, οὔτε χωρὶς κινδύνου οὔτε πιστῶς. οὕτω δὲ καὶ τῶν ἄλλων ἡμερῶν ἑκάστης ἐστί τις ἴδιος φύσις, ἣν ἐν τοῖς περὶ κρισίμων διοριζόμεθα. φέρε δὴ καὶ τὴν ἡμέραν εἶναι κατὰ τὸ τῆς ταραχῆς μέγεθος. εἶτ’ ἐφεξῆς σκοπεῖν, ὁποία τις ἡ κρίσις ἔσται· περὶ μὲν οὖν τῶν ἄλλων οὐδὲν δεόμεθα λέγειν νῦν. εἰ δ’ ἔμετος ἢ αἵματος ἔκκρισις διὰ ῥινῶν ἔσεσθαι μέλλοι, ταύταις γὰρ ἐλέγομεν ταῖς ἐκκρίσεσιν ἕν τι τῶν σημείων εἶναι τὴν κεφαλαλγίαν, ἐκ τῶνδε μάλιστα διορίζεσθαι· πρῶτον μὲν εἰ μὴ κατ’ ἀρχὰς εὐθὺς εἰσέβαλεν οἷον σύμπτωμά τι τοῦ νοσήματος, ἀλλ’ ἐν τῇ πρὸ τῆς κρίσεως ταραχῇ. δεύτερον δ’ εἰ καὶ ὁ τράχηλος συναλγοίη καὶ ὑποχόνδριον ἀνασπώμενον εἴη καὶ εἰ δύσπνοιά τις αἰφνίδιος, οἱονεὶ στενοχωρουμένου τοῦ θώρακος. εἰ γὰρ ἐπὶ τούτοις ἅπασιν ἐξαίφνης ὀγκούμενοι οἱ σφυγμοὶ μὴ καταπίπτοιεν εἰς μικρότητα μηδ’ ἀμυδροὶ γίγνοιντο, παραχρῆμα τὴν κρίσιν ἐλπίζειν· εἰ δὲ πρὸς τῷ μὴ καταπίπτειν εἰς ὕψος ἀρθεῖεν καὶ σφοδρότητα προσλάβοιεν, ἐπιβλέπειν ἤδη χρὴ τὸ πρόσωπον τοῦ νοσοῦντος· εἰ γὰρ καὶ πάλλοιτό τι τῶν ἐν αὐτῷ μορίων ἢ σφύζοιεν αἱ ἐν τοῖς κροτάφοις φλέβες ἢ μῆλον ἢ ῥὶς ἢ ὀφθαλμὸς ἐρυθρότερα γίγνοιντο, τὴν κρίσιν μᾶλλον ἐλπίζειν.

11 67 εἰ δὲ καὶ δακρύουσιν ἄκοντες ἢ μαρμαρυγὰς ὁρᾷν φαντάζοιντο καὶ τὰς χεῖρας ἐπὶ τὰς ῥῖνας φέροιεν ὡς κνώμενοι, τηνικαῦτα μὲν οὐκέτι μέλλον, ἀλλ’ ἤδη ῥέον ὄψει τὸ αἷμα. κνησαμένων γὰρ αὐτῶν ἅπαξ που καὶ δὶς εὐθὺς ἐκρήγνυται. μὴ καταπλαγῇς δ’ ἐν τούτοις, ἢν παραφρονοῦντα τὸν ἄνθρωπον καὶ ἀναπηδῶντα θεάσαιο. καὶ γὰρ καὶ ταῦτα τῆς ἄνω φορᾶς τῶν χυμῶν γνωρίσματα. καθάπερ ἥ τε δύσπνοια καὶ τὸ ὑποχόνδριον ἀνασπώμενον, ὅ τε τράχηλος ἅμα τῇ κεφαλῇ βαρυνόμενος· ἀλλά σοι σὺν τούτοις ἕν τι σημεῖον ἔστω καὶ ἡ παραφροσύνη. καὶ ταῦτα μὲν οὖν ἱκανὰ γνωρίσματα. προσέρχεται δ’ αὐτοῖς πολλάκις ἥ τε τοῦ νοσοῦντος ἡλικία τε καὶ φύσις βεβαιοῦσα τὴν ἐλπίδα καὶ προσέτι τοῦ ἔτους ὁ καιρὸς, ἥ τε παροῦσα κατάστασις.

11 68 εἰ γὰρ μειράκιον εἴη τὸ νοσοῦν ἢ ἄλλως φύσει θερμὸν ἢ πολύαιμον, ἔτι μᾶλλον ἐλπίσεις. εἰ δὲ καὶ πρόσθεν αὐτῷ πολλάκις αἷμα διὰ ῥινῶν ἐπεφάνη, νοσοῦντί τε καὶ ὑγιαίνοντι, τοῦτο μὲν καὶ μόνον ἱκανὸν αἱμοῤῥαγίας ἐλπίδα παρασχεῖν. εἰ δὲ καὶ τὸν καιρὸν τοῦ ἔτους ὁρῴης θέρος, ἢ οὐ θέρος μὲν, ἄλλως δὲ θερμὴν τὴν παροῦσαν κατάστασιν, ἆρ' οὐκ ἄν τινα καὶ παρὰ τούτων ἔνδειξιν λάβοις; εἰ δὲ καὶ πολλοὶ κατ' ἐκεῖνον τὸν καιρὸν αἱμοῤῥαγίας εἶεν κεκριμένοι, καὶ τοῦτ' ἂν αὐξήσειέ σου τὴν ἐλπίδα, καὶ εἰ πληθωρικὸν εἴη τὸ σῶμα καὶ εἰ συνηθῶν ἐκκρίσεων ἐπίσχεσις. ἐμοὶ μὲν οὐδ' ὅλως χαλεπὸν εἶναι δοκεῖ, τοσαῦτα καὶ τοιαῦτα γνωρίσματα μελλούσης αἱμοῤῥαγίας ἔχοντα δύνασθαι προγινώσκειν, ἀλλ' ἄτοπόν τε καὶ δεινῶς ἀμαθὲς τὸ μὴ προγνῶναι. τῇ δ' ὀλιγωρίᾳ τῶν νῦν ἰατρῶν θαυμάζεται τὰ μὴ θαυμαστά. καὶ γὰρ εἴτ' ἐξ ἀριστεροῦ μυκτῆρος εἴτ' ἐκ δεξιοῦ ῥυήσεται τὸ αἷμα, χαλεπὸν μὲν οὐδὲν ἐκ τῶν εἰρημένων προγινώσκειν, τοῖς πολλοῖς δὲ τῶν ἰατρῶν οὐ μόνον χαλεπὸν, ἀλλ' οὐδὲ δυνατὸν ὅλως εἶναι δοκεῖ· καί τοι καὶ ταύτας καὶ τὰς ἄλλας ἐκκρίσεις ἁπάσας ἔνεστι προγνῶναι, δύο ταῦτα σκοπουμένῳ· τό τε ὅθεν ἡ ὁρμὴ τῆς φύσεως καὶ τὸ ποῦ.

11 69 καὶ γὰρ συνεργήσομεν ταῖς ἐλλείψεσι καὶ κωλύσομεν τὰς ἀμέτρους γινομένας φορὰς, εἰ ταῦτα γινώσκοιμεν· οἷον αὐτίκα τὰς ἀπὸ σπληνὸς αἱμοῤῥαγίας αἱ κατὰ τὸ ἀκριβέστερον ὑποχόνδριον ὑποτιθέμεναι μεγάλαι σικύαι ῥᾳδίως ἀντισπῶσι, τὰς δ' ἀπὸ τοῦ ἥπατος αἱ κατὰ τὸ δεξιόν. κᾀπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. ἐξ ἑνὸς γὰρ περὶ πάντων δυνήσῃ συλλογίζεσθαι τό γε καθόλου σκοπούμενος. ὥστε κᾀγὼ τῇδε καταπαύσω τὸν παρόντα λόγον. ἐφεξῆς δὲ περί τε τῶν ἐπὶ ταῖς φλεγμοναῖς ἀναπτομένων πυρετῶν δίειμί σοι καὶ τῶν ἄλλων παθῶν, ὅσα καθ' ἕκαστον τῶν τοῦ σώματος μορίων συνίσταται. φλεγμονὰς δ' οἱ μὲν παλαιοὶ τὰς οἷον φλογώσεις ὠνόμαζον· οἱ δὲ νεώτεροι οὐ πάσας οὔτε γὰρ τὸν ἕρπητα οὔτε τὸ ἐρυσίπελας οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων ταῖς φλεγμοναῖς συναριθμοῦσιν, ἀλλ' ἑνὶ μόνῳ τῶν θερμῶν παθημάτων ἐπιφέρουσι τοῦτο τὸ ὄνομα, τὸ μετ' οἰδήματος σκληροῦ καὶ ὀδύνης σφυγματώδους.

11 70 [t2] οὐ μὴν τούτῳ γε μόνῳ πυρετοὺς καὶ πόνους ἑπομένους ὁρῶμεν, ἀλλ' ἅπασιν ἁπλῶς τοῖς θερμοῖς καὶ οἷον ζέουσι πάθεσι. περί τε οὖν τούτων καὶ τῶν ἄλλων ὅσα τοιαῦτα νοσήματα τὸν ἑξῆς ποιησόμεθα λόγον. ΓΑΛΗΝΟΥ ΤΩΝ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΘΕΡΑΠΕΥΤΙΚΩΝ ΒΙΒΛΙΟΝ Β.

11 71 (t1) Περὶ δὲ τῶν καθ' ἕκαστον μέρος τοῦ σώματος παθῶν, ὦ Γλαύκων, ἑξῆς ἐροῦμεν ἀπὸ φλεγμονῆς ἀρξάμενοι. καὶ γὰρ πλειστάκις αὕτη γίνεται καὶ πλείστας ἔχει διαφοράς· καὶ πάσαις αὐταῖς πυρετοὶ πυφύκασιν ἕπεσθαι. κοινὸν μὲν οὖν ἁπάσαις ἡ ἄμετρός ἐστι θερμασία καὶ οἷον φλόγωσις, ὅθεν περ καὶ τὸ τῆς φλεγμονῆς ὄνομα κατ' αὐτῶν ἐπιφέρειν ἔθος ἦν τοῖς παλαιοῖς. ἰδίαν δὲ καθ' ἑκάστην εὕροις ἄν τινα διαφορὰν, ἐξ ἧς τό τε εἶδος αὐτῆς γνωριεῖς καὶ τῆς προσηκούσης εὐπορήσεις ἰάσεως. ἑτέρως μὲν γὰρ ἕρπητας, ἑτέρως δ' ἐρυσιπέλατα, ἑτέρως δὲ φύγεθλα καὶ τἄλλα τῶν φλεγμονῶν εἴδη θεραπεύσεις.

11 72 ὥστε πάλιν ἡγεῖται κᾀνταῦθα διαγινώσκειν ὀρθῶς τὰ πάθη δύνασθαι. καί σοι πειράσομαι τοῦτο πρῶτον γράψαι, διελόμενος ἐξ ἀρχῆς περὶ τῶν κατὰ τὰς φλεγμονὰς πάσας διαφορῶν. πρώτη μὲν οὖν διαφορὰ φλεγμονῆς ἐστι, καθ' ἣν τὴν μὲν αὐτῆς ὑγρὰν, τὴν δὲ ξηρὰν εἶναι συμβέβηκεν. ὑγρὰν μὲν ἥτις ἂν ἐκ ῥεύματος θερμοῦ τὸ μόριον καταλαμβάνοντος γίγνηται· ξηρὰν δ' ὅταν μηδενὸς ἐπιῤῥυέντος τὴν σύμφυτον θερμασίαν ἐκπυρωθῆναι συμβῇ. τοῦτο δὲ μέχρι μέν τινος οἷον πυρετός ἐστι τοῦ μορίου· ἐπειδὰν δὲ εἰς ἄμετρον ἤδη θερμότητα καὶ ξηρότητα προήκῃ, φθορὰ καὶ νέκρωσις παντελὴς γίγνεται, ὅθεν οὐδ' εἰς πλείω τέμνεσθαι πέφυκεν, ὥσπερ ἡ ἑτέρα διαφορὰ καθ' ἣν ἐπιῤῥεῖν τινας χυμοὺς ἐλέγομεν τῷ μέρει. πολλὰ γὰρ τὰ ταύτης εἴδη· αἵματος μὲν γὰρ ἐπιῤῥυέντος ἕτερον· χολῆς δὲ ξανθῆς ἕτερον· ἀμφοῖν δ' ἅμα τρίτον ἄλλο. καὶ μὲν δὴ καὶ καθ' ἕκαστον αὐτῶν ἢ σεσηπός ἐστιν ἤδη τὸ ἐπιῤῥέον ἢ ἐν τῷ μορίῳ σφηνούμενον σήπεται· καὶ ἤτοι παχὺ τὴν σύστασιν ἢ λεπτὸν ἢ χρηστὸν ἢ δριμύ.

11 73

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἵματος μὲν οὖν χρηστοῦ καὶ συμμέτρου τῷ πάχει ῥυέντος εἴς τι μόριον ἀθρόως καὶ διὰ τὸ πλῆθος σφηνωθέντος, ὀδύνη σφοδρὰ καταλαμβάνει τὸν ἄνθρωπον, ἤν γε μὴ παντελῶς δυσαίσθητον ᾖ τὸ μόριον· καὶ σφυγμὸς ἀνιαρὸς ἐν τῷ βάθει καὶ τείνεσθαι πάντῃ νομίζει καὶ θλᾶσθαι τὸ μόριον καὶ θερμασίας αἰσθάνεσθαι πλείονος, ὡς διακαίεσθαι δοκεῖν καὶ ἀναψύχεσθαι ποθεῖν· καὶ ἔρευθος ἐπανθεῖ τοιοῦτον, οἷον τοῖς λελουμένοις ἢ παρὰ τῷ πυρὶ θαλφθεῖσιν ἤ πως ἄλλως θερμανθεῖσι. τοῦτο τὸ πάθος τὴν τοῦ γένους ὅλου προσηγορίαν ἀπηνέγκατο καὶ καλεῖται φλεγμονὴ, ἄλλοις παραπλησίως πολλοῖς εἴδεσι λαμβάνουσι τὸ τοῦ γένους ἐπιφερόμενον ὄνομα. καὶ γίνεται συνεχῶς ἐπὶ πάσῃ σχεδὸν προφάσει· καὶ γὰρ καὶ τρώσεσι καὶ σπάσμασι καὶ θλάσμασι καὶ ῥήγμασι καὶ τοῖς ἐκ τῶν γυμνασίων καμάτοις, ἐξαρθρήμασί τε καὶ κατάγμασι καὶ τοῖς αὐτομάτοις ἕλκεσιν ἐπιγίγνεται· καὶ χωρὶς δὲ τούτων ἁπάντων, ὅταν εἰς ἄμετρον χυμῶν πλησμονὴν αἱ φλέβες ἀφίκωνται, τότε τὸ περιττὸν ἀποχέουσιν εἴς τι χωρίον, ὃ ἂν ἐπιτηδειότατον ᾖ τηνικαῦτα δέξασθαι· πάντως δὲ τοῦτο τῶν ἄλλων ἢ ἀῤῥωστότερόν ἐστιν ἢ μανώτερον ἢ ἕλκειν ἑτοιμότερον ἢ ἀκινητότερον, ἐξ ἡστινοσοῦν αἰτίας, εἰς ταύτας ἀχθὲν τὰς διαθέσεις.

11 74 οὐ γὰρ τοῦτό γε νῦν πρόκειται λέγειν. χολὴ δὲ ξανθὴ ἡνίκα μὲν τὴν ἑαυτῆς φύσιν σώζουσα σὺν τῷ αἵματι φέρεται πανταχόσε τοῦ σώματος, ἴκτερος τὸ πάθος καλεῖται. μόνης δ' ἀποκριθείσης καὶ κατά τι μόριον ἱσταμένης, ἕρπης ὀνομάζεται· εἰ μὲν δὴ παχεῖα τὴν σύστασιν εἴη, πᾶν ἑλκοῖ μέχρι τῆς ὑποκειμένης σαρκὸς τὸ δέρμα, καὶ καλεῖ τούτους Ἱπποκράτης ἕρπητας ἐσθιομένους. εἰ δὲ λεπτοτέρα εἴη, τὸ ἐπιπολῆς μόνον ὥσπερ ἐπικαίει καὶ τοῦτο τὸ εἶδος ἀπηνέγκατο τὴν τοῦ γένους προσηγορίαν, ἁπλῶς τε καὶ χωρὶς προσθήκης ἕρπης ὀνομασθέν. τῶν γὰρ ἄλλων δυοῖν εἰδῶν τὸ μὲν ἤδη προειρημένον ἐσθιόμενος ἕρπης ὀνομάζεται, θάτερον δὲ τὸ λοιπὸν κεγχρίας, ὅτι καὶ τούτῳ συμβέβηκε, φλυκταίνας μικρὰς καὶ πολλὰς ἐπιπολῆς τοῦ δέρματος ἐπεγείρειν, κέγχροις ἐοικυίας. γίνεται δ' ὁ τοιοῦτος ἕρπης ὑπὸ χολῆς μὲν καὶ αὐτὸς, ἀλλ' ἧττον δριμείας καὶ θερμῆς ἢ οἱ πρόσθεν. εἰ δ' ἐξ αἵματος καὶ ξανθῆς χολῆς θερμοτέρων τοῦ δέοντος μικτὸν εἴη τὸ ῥεῦμα, ἢ ἐξ αἵματος μὲν, ζέοντος δὲ καὶ λεπτοτάτου τὴν σύστασιν, ἐρυσίπελας τὸ πάθος καλεῖται, θερμότερον πολλῷ τῆς φλεγμονῆς τοῦτο καὶ ξανθότερον ἰδέσθαι.

11 75 καὶ εἰ ἅψαιο, ῥᾳδίως ὑποτρέχει τὸ αἷμα καὶ αὖθις ἐπιῤῥεῖ, λεπτὸν ἀκριβῶς καὶ ἐρυθρὸν φαινόμενον, οὐ μὴν οὐδ' ὀδυνᾶται ὁμοίως τῇ φλεγμονῇ τοῦτο. καὶ κατ' οὐδὲν δὲ τῶν τῆς φλεγμονῆς εἰδῶν οὔτε σφυγμὸν οὔτε θλῖψιν οὔτε τάσιν ὁμοίαν ἐπιφέρει, ἀλλ' ἔσθ' ὅτε καὶ πάνυ μετρίως ἐνοχλεῖ καὶ μάλισθ' ὅταν κατὰ μόνου τοῦ δέρματος ἐκχυθῇ, μηδὲν ἀδικοῦν τὴν ὑποκειμένην σάρκα· καὶ μὲν δὴ καὶ γίνεται τοιοῦτον ὡς τὰ πολλὰ καὶ τοῦτό ἐστι τὸ ἀκριβὲς ἐρυσίπελας. ὡς τό γε καὶ τῆς ὑποκειμένης ἁπτόμενον σαρκὸς οὔτ' ἐξ ἀκριβῶς λεπτοῦ γίνεται τοῦ ῥεύματος οὔτ' ἐρυσίπελάς ἐστι μόνον, ἀλλ' ἤδη μικτὴ διάθεσις ἐξ ἐρυσιπέλατός τε καὶ φλεγμονῆς, ἐπικρατεῖ δ' ἐν αὐτῇ ποτὲ μὲν τὰ τοῦ ἐρυσιπέλατος ἴδια συμπτώματα, καὶ καλεῖται τὸ τοιοῦτον πάθος ὑπὸ τῶν νεωτέρων ἰατρῶν ἐρυσίπελας φλεγμονῶδες· ποτὲ δὲ τὰ τῆς φλεγμονῆς, καὶ ὀνομάζουσιν αὐτὸ τηνικαῦτα φλεγμονὴν ἐρυσιπελατώδη. εἰ δὲ τὰ μηδετέρου ἐπικρατοίη σαφῶς, ἀλλ' ἴσα φαίνοιτο, φλεγμονὴ καὶ ἐρυσίπελας μεμίχθαι λέγεται.

11 76 τὸ μὲν οὖν ἀκριβὲς ἐρυσίπελας αὐτοῦ τοῦ δέρματος μόνου πάθος ἐστίν. οὐ μὴν ἥ γε φλεγμονὴ μόνων τῶν ὑποκειμένων τῷ δέρματι μορίων, ἀλλὰ μάλιστα μὲν τούτων, ἐνίοτε δὲ καὶ τοῦ δέρματος. καὶ ἔστιν αὐτὴ τἄλλα μὲν ὀδυνηρὰ τῆς ἑτέρας οὐδὲν ἧττον, ἄπεστι δ' αὐτῆς ὁ σφυγμός. ὅταν δὲ τὸ ἐπιῤῥέον αἷμα θερμὸν ἱκανῶς ᾖ καὶ παχὺ, καθ' ὅτι ἂν μόριον ἀθρόον ἐπιῤῥυῇ, τοῦτο καῦσαν ἕλκος ἐσχάραν ἔχον εἰργάσατο. τὸ πέριξ δ' αὐτοῦ πᾶν εἰς φλεγμονὴν ἐξαίρει, ζέουσάν τε καὶ δεινῶς ἐπώδυνον. ὀνομάζεται δὲ τὸ τοιοῦτον πάθος ἄνθραξ. ὅταν δὲ τὸ ἐπιῤῥέον αἷμα μέλαν ᾖ καὶ παχὺ καὶ ἰλυῶδες καὶ ζέον, οἷόν περ τὸ προειρημένον, ἅμα δὲ καὶ ἰχῶράς τινας λεπτοὺς μεμιγμένους ἔχῃ, φλυκταίνας ἐπιπολῆς τοῦ δέρματος ἀνίστησιν, ὁμοίας

ταῖς ἀπὸ πυρὸς ὧν ἐκρηγνυμένων τὸ ἐσχαρῶδες ὑπ’ αὐταῖς ἕλκος εὑρίσκεται· καὶ ἔστιν ἄνθραξ ἤδη καὶ τοῦτο. τὰ μὲν οὖν τῆς φλεγμονῆς εἴδη τοσαῦτα κατά γε τὴν φύσιν αὐτὴν τοῦ πάθους διαιρούμενα. πολλὰ δ’ ἂν ἴσως δόξειέ τις παραλελεῖφθαι τῷ πλήθει τῶν ὀνομάτων ἐξαπατώμενος, οἷον βουβῶνάς τε καὶ φύματα καὶ φύγεθλα καὶ ὀφθαλμίας καὶ περιπνευμονίας καὶ πλευρίτιδας καὶ ἄλλα πολλὰ τῶν ὁμοίως ὀνομαζομένων.

11 77 ἅπαντα γὰρ ταῦτα φλεγμοναὶ μέν τινές εἰσιν, ἐν οἷς πρόσθεν εἶπον εἴδεσι περιεχόμεναι, διαφόρου δ’ αὐτῶν ἕκαστον ἔτυχε προσηγορίας, τῶν πρώτως θεμένων αὐτὰς σύνθετον νόησιν αὐτοῦ τε τοῦ πάθους καὶ τοῦ δεδεγμένου ἅμα μέρους αὐτὸ, δι’ ἑνὸς ἑρμηνεῦσαι βουληθέντων ὀνόματος. ἔστι γὰρ ὁ μὲν βουβὼν καὶ τὸ φῦμα καὶ τὸ φύγεθλον ἀδένων παθήματα. βουβὼν μὲν ἡ φλεγμονή· φῦμα δὲ τὸ ταχέως αὐξόμενον καὶ πρὸς ἐκπύησιν ἐπειγόμενον· φύγεθλον δὲ τὸ λεγόμενον φλεγμονῶδες ἐρυσίπελας ἢ ἐρυσιπελατώδης φλεγμονή. οὕτω δὲ καὶ ὀφθαλμία μὲν ἡ τοῦ πεφυκότος ὑμένος τῷ κερατοειδεῖ φλεγμονή· πλευρῖτις δ’ ἡ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος· συνάγχη δὲ φάρυγγος· ἡ περιπνευμονία δὲ τοῦ πνεύμονος· ἑκάστου τε τῶν ἄλλων ἀνάλογον. τὰς μὲν οὖν ἐν τοῖς φαινομένοις μέρεσι τοῦ σώματος φλεγμονὰς ἕτοιμον γνωρίζειν· τὰς δ’ ἐν τοῖς ἀφανέσιν, αἳ καὶ τοὺς πυρετοὺς ἐπιφέρουσι πάντως, οὐκέθ’ ὁμοίως· ἀλλ’ ἐμοὶ μὲν δοκεῖ γνώμης τε πάνυ λεπτῆς ἡ τοιαύτη δεῖσθαι διάγνωσις, ἐμπειρίας τε τῆς φύσεως τῶν μορίων, ἣν ἐξ ἀνατομῆς τε ἅμα καὶ ἀκριβοῦς ἐπιστήμης ἐνεργειῶν τε καὶ χρειῶν ποριζόμεθα· περὶ μὲν δὴ τούτων ἐν ἑτέραις εἴρηται πραγματείαις.

11 78 νῦν δ’ οὐκέτ’ ἐγχωρεῖ, προστιθέναι τὸν περὶ τούτων λόγον, ἐξαίφνης σοι προσπεσούσης ἀναγκαίας ἀποδημίας. ὅπως δ’ ἄν τις τὰς ἐν τοῖς φαινομένοις μορίοις συνισταμένας φλεγμονὰς κάλλιστα ἰῷτο, τοῦτό σοι πρῶτον δίειμι τὴν ἀρχὴν ἀπὸ τοῦ πολλάκις τε γιγνομένου πάθους καὶ δι’ αὐτὸ τοῦτο ὅλου τοῦ γένους τὴν προσηγορίαν ἀπενεγκαμένου ποιησάμενος. ἐφ’ οὗ τοῦτο πρῶτον ἁπάντων φημὶ χρῆναι σκοπεῖν, ὅπερ κἀν τοῖς ἄλλοις ἅπασι μεγίστην ἔχει δύναμιν, ἐξευρεῖν τὴν πρόφασιν τοῦ νοσήματος. Ἔστι γοῦν μία τις πρόφασις τῶν φαινομένων φλεγμονῶν, οὐ πάνυ τι λανθάνουσα τὸ καλούμενον ῥεῦμα, πλὴν εἴποτε συνδράμοι ταῖς δι’ ἄλλην τινὰ πρόδηλον αἰτίαν δοκούσαις γεγονέναι. ἡνίκα μὲν γὰρ οὐδεμιᾶς ἐκείνων προηγησαμένης ἐξαίφνης ἐφλέγμηνε τὸ μόριον, ἡ μὲν ἐργασαμένη τὸ πάθος αἰτία ῥεῦμα καλεῖται, τὸ πάθος δ’ αὐτὸ ῥευματικὴ διάθεσις.

11 79 καὶ χρὴ μάλιστ’ ἐπὶ τῶν τοιούτων φλεγμονῶν τὰς ἀρχὰς τῶν ἰάσεων χρηστὰς εἶναι. τὰ γὰρ ἐν αὐταῖς ἁμαρτήματα δυσιάτους ἢ καὶ παντάπασιν ἀνιάτους ἐργάζεται τὰς διαθέσεις. μέγιστα δ’ ἁμαρτήματα δύο ταῦτα, τό τε μηδεμίαν ὅλου τοῦ σώματος πρόνοιαν ποιεῖσθαι καὶ τὸ θερμαίνειν μὲν καὶ ὑγραίνειν ἔτι τὸ μέρος. ἄμφω δ’ οἱ πολλοὶ τῶν ἰατρῶν ἁμαρτάνουσι. τινὲς μὲν γάρ εἰσιν ἐκ τῆς μεθοδικῆς αἱρέσεως ἀναπεπεισμένοι καὶ τὰς φλεγμονὰς ἁπάσας στεγνὰ πάθη νομίζοντες καὶ χαλᾷν αὐτὰς ἡγούμενοι δεῖν. εἰσὶ δ’ οἳ καὶ ἀλόγως τε καὶ ἀσκέπτως ἐκείνοις ἕπονται, μίαν ἀπολογίαν τοῦ κακῶς ποιεῖν ἔχοντες τὸ σὺν πολλοῖς ἁμαρτάνειν. ἀλλ’ οὔτε τῶν δογματικῶν ἰατρῶν τις οὔτε τῶν ἐμπειρικῶν οὕτως ἐγίγνωσκεν. ἀλλ’ ὅπερ ὅ τε λόγος ὑπαγορεύει καὶ ἡ πεῖρα, τὸ μὲν ὅλον σῶμα κενοῦν ταῖς ἐνδεχομέναις κενώσεσι συμβουλεύουσιν, αὐτὸ δὲ τὸ φλεγμαῖνον μέρος ἐπιβρέχειν τε καὶ καταπλάττειν τοῖς ἀπωθεῖσθαι μὲν τὸ ἐπιῤῥέον δυναμένοις, κενοῦν δὲ τὸ ἤδη περιεχόμενον ἐν τῷ πεπονθότι τόπῳ· τόνον δὲ καὶ ῥώμην ἐντιθέναι τοῖς ἤδη πεπονηκόσι μορίοις.

11 80 εἰς ἃ δὲ χρὴ βλέποντας κενοῦν, εἴρηται μὲν ἤδη καὶ πρόσθεν, ἀλλὰ καὶ νῦν ἔτι δι’ ὀλίγων ὑπομνήσομεν· ὥστε κἀν τοῖς ἑξῆς ἅπασι μεμνημένον σε μηκέτι δεῖσθαι καθ’ ἕκαστον πάθος ἀκούειν τοὺς ἐνδεικνυμένους σκοποὺς τὰς κενώσεις. ἡλικίαν μὲν οὖν καὶ ὥραν καὶ χώραν καὶ τὴν παροῦσαν κατάστασιν καὶ τὴν ῥώμην τοῦ κάμνοντος καὶ τὴν ἕξιν καὶ τὸ ἔθος καὶ αὐτὴν τὴν τοῦ νοσήματος ὑπόθεσιν ἐπιβλέπειν ἐφάσκομεν δεῖν. ἐκ τούτων γὰρ, ὅτε χρὴ κενοῦν ἢ μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κενοῦν καὶ ὅθεν καὶ ὅπως, εὑρεθήσεται, οἷον ἐπὶ τῆς προκειμένης διαθέσεως· εἰς γόνυ φερέσθω τὸ ῥεῦμα καὶ τοῦτ᾽ ἐπὶ πλεῖστον ἀθρόως ἐξαιρέσθω. φαινέσθω δέ σοι καὶ τὸ σύμπαν σῶμα μεστὸν αἵματος καὶ ἡ δύναμις τοῦ νοσοῦντος ἰσχυρὰ καὶ ὁ καιρὸς τοῦ ἔτους ἔαρ ἔστω καὶ τὸ χωρίον εὔκρατον καὶ ὁ νοσῶν μειράκιον ἢ νεανίσκος, οὗτος αἵματος κενώσεως τῆς ἐκ τῶν ἄνω χωρίων δεῖται καὶ χρὴ τεμεῖν αὐτοῦ τῶν ἐν ἀγκῶνι φλεβῶν, ἤτοι τὴν ἐντὸς ἢ τὴν μέσην. εἰ δὲ τῶν ἄνωθέν τι ἐπεπόνθει, κάτωθεν ἀπάγειν τοῦ αἵματος.

11 81 ἀεὶ γὰρ εἰς τοὐναντίον τὴν τοῦ ῥεύματος ὁρμὴν ἀντισπᾷν ξυμφέρει. καταπλάττειν δὲ τῷ διὰ τοῦ ἀειζώου καὶ λεπισμάτων ῥοιᾶς ἑφθῶν ἐν οἴνῳ καὶ ῥοῦ καὶ ἀλφίτων συγκειμένῳ· κάλλιστον γὰρ τοῦτό γ᾽ ἔν τε τοῖς τοιούτοις καὶ πάνθ᾽ ὅσων δεόμεθα δρᾷν δυνάμενον. ἀποκρούεται γὰρ τὸ ἐπιῤῥέον καὶ ξηραίνει τὸ περιεχόμενον καὶ ῥώννυσι τὰ πέριξ μόρια. καὶ ἄλλα δὲ μυρία φάρμακα κατὰ τὸν αὐτὸν τρόπον ἔνεστί σοι συντιθέναι. ὧν τὴν μέθοδον τῆς συνθέσεως ἐν τοῖς περὶ φαρμάκων μεμάθηκας. ὅθεν κἀγὼ καθ᾽ ἕκαστον ἕν τί σοι παραγράψω καὶ ὑπόμνημά τε ἅμα καὶ παράδειγμα τῆς τῶν ἄλλων δυνάμεως ἐσόμενον. εἰ μὲν δὴ μὴ σφοδρῶς ὀδυνῷντο, τοῖς τοιούτοις χρῆσθαι· σὺν ὀδύνῃ δὲ μείζονι τοῦ ῥεύματος ἐμπεσόντος οὐ χρὴ μὲν οὐδ᾽ οὕτως οὐδ᾽ ὕδωρ θερμὸν οὔτ᾽ ἔλαιον οὔτε τὰ διὰ τῶν πυρίνων ἀλεύρων προσφέρειν καταπλάσματα. πολέμια γὰρ ἅπαντα τὰ τοιαῦτα ταῖς ῥευματικαῖς διαθέσεσι, κἂν εἰ παραχρῆμα δόξειε ῥᾳστώνην τινὰ φέρειν. ἀρκεῖ δὲ τῶν τοιούτων τινὶ παραμυθήσασθαι τὸ σφοδρὸν τῆς ὀδύνης, ὅσα διὰ γλυκέος τε καὶ ῥοδίνου καὶ κηροῦ βραχέος ἐν ἀμφοῖν τετηκότος σύγκειται.

11 82 χρὴ δὲ καὶ ταῦτ᾽ ἀναλαμβάνειν ἐρίοις ῥυπαροῖς, οἴσυπον ὡς πλεῖστον ἔχουσι καὶ θέρους μὲν ψυχρά· χειμῶνος δὲ χλιαρὰ προσφέρειν. οὕτω δὲ καὶ τὰ καταπλάσματα δι᾽ ἀρνογλώσσου καὶ φακῆς καὶ ἄρτου καὶ ῥοδίνου. μικρὸν δ᾽ ὑπεράνω τῶν πεπονθότων χωρίων ἐπιτιθέναι σπόγγον οἴνῳ στρυφνῷ βεβρεγμένον ἢ ὕδατι ψυχρῷ· κάλλιον δ᾽ εἰ καὶ ὄξους ὀλίγον ἔχοι. καὶ εἰ μὲν ἐπὶ τοιούτοις ἀξιόλογός τις ὠφέλεια γένοιτο καὶ μηδαμοῦ πῦον ὑποφαίνοιτο, τοῖς πρὸς τὰ ῥεύματα μαλθακοῖς ἐμπλάστροις δεῖ χρῆσθαι· κάλλιστα δ᾽ αὐτῶν, ὅσα ξηραίνειν τε ἅμα καὶ ἀπωθεῖσθαι δύναται τὸ ἐπιῤῥέον αἷμα χωρὶς ὀδύνης. ὥστε τά γε συντείνοντα σφοδρῶς καὶ διὰ τοῦτο ὀδυνῶντα πλεῖον ἀδικεῖ τοῖς ἀλγήμασιν ἢ ὠφελεῖ ξηραίνοντα. τοιοῦτον οὖν εἶναι χρὴ τὸ φάρμακον, οἷόν ἐστι τὸ σύνηθες ἡμῖν τὸ διὰ τῆς χαλκίτεως ἀνιέμενον ῥοδίνῳ. εἰ δὲ καὶ καθαρὸν ἔριον οἴνῳ στρυφνῷ βρέχων ἔξωθεν ἐπιβάλλοις αὐτῷ, πλέον ὀνήσεις. ὑποφαινομένου δὲ κατὰ τὸ μόριον πύου, καταπλάττειν μὲν ἀναγκαῖον ἅπαξ ἢ δίς που.

11 83 καὶ ἄμεινον εἰς τὰ παρόντα τὸ ἐκ τῶν κριθῶν ἄλευρον. παραπλέκειν δ᾽ ὁμοίως τι κἀν τούτοις ἢ ὄξους ἢ οἴνου. καὶ διελόντα καὶ κενώσαντα τὸ πῦον φυλάττεσθαι μὲν τοῦ λοιποῦ προσφέρειν ἔλαιον ἢ ὕδωρ. καὶ εἰ ἀπονίψαι ποτὲ δέοι τὸ τραῦμα, μελικράτῳ τε ἢ ὀξυκράτῳ καὶ οἴνῳ καὶ οἰνομέλιτι χρηστέον. ἐπιτιθέναι δ᾽, εἰ μὲν ἔτι φλεγμαίνοι, τὸ διὰ τῆς φακῆς κατάπλασμα. μὴ φλεγμαίνοντος δὲ τῶν τε ἄλλων φαρμάκων τι τῶν ἐμπλαστῶν, οἷς ἐπὶ ταῖς τοιαύταις τομαῖς χρώμεθα καὶ οὐχ ἥκιστά γε τῷ διὰ τῆς χαλκίτεως. ἐπιτιθέναι δὲ κατ᾽ αὐτῶν ἔξωθεν σπόγγον ἢ ἔριον οἴνῳ βρέχοντας στρυφνῷ. μὴ παρόντος δὲ τοῦ στρυφνοῦ, τῷ ὕδατι μίξαντας ὄξους τοσοῦτον, ὡς πίνειν δύνασθαι, τούτῳ βρέχειν. ἐπιτήδειοι δ᾽ εἰς ταῦτα καὶ ὅσοι θαλάττης ἔχουσιν οἶνοι. καὶ αὐτὸς δ᾽ ἂν ἐπὶ τοῦ καιροῦ τεχνήσαιο, μιγνύων ἁλῶν τῷ παρόντι τῷ δὲ τραύματι μηδὲν τῶν λιπαινόντων φαρμάκων προσφέρειν, οἷον τό τε Μακεδονικόν ἐστι καὶ τὸ τετραφάρμακον καλούμενον· ἀκριβῶς γὰρ δεῖται ξηραίνεσθαι.

11 84 οὕτω μὲν ἰᾶσθαι δεῖ τὰς ἐπὶ ῥεύματι φλεγμονάς. Τὰς δ᾽ ἐπί τινι τῶν ἄλλων αἰτίων ὑγραίνειν τε καὶ θερμαίνειν οὐδὲν κωλύει. καὶ εἰ ἐκπυῆσαι βουληθείης αὐτὰς, καταπλάττειν ἀλεύρῳ πυρίνῳ δι᾽ ἐλαίου τε καὶ ὕδατος ἡψημένῳ. καὶ εἴποτε καὶ ἀποσχάζειν δεήσειεν, οὐδὲ τοῦτο χρὴ δεδιέναι. τὰς δ᾽ ἐπὶ τοῖς ῥεύμασιν εἰ ἀποσχάσαις, μέγα τι κακὸν ἐργάσῃ καὶ μάλιστ᾽ εἰ κατ᾽

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχάς. ὅσαι γὰρ αὐτῶν χρόνου πλείονος οὖσαι μετά τε τὴν τοῦ παντὸς σώματος κένωσιν καὶ τὴν ἄλλην τὴν προσήκουσαν ἴασιν σκληρότητάς τινας ἢ μελανότητας ἐν τοῖς μέρεσιν ὑπολειπομένας ἔχουσι, τούτων ἀπάγειν τοῦ αἵματος οὐδὲν ἄτοπον· οὔτε γὰρ φλεγμονὰς τάς γε τοιαύτας ἔτι νομιστέον· ὥσπερ οὐδὲ ἐρυσίπελας ἔτι τὸ ἤδη πελιδνόν. καὶ γὰρ οὖν καὶ τοῦτο κατὰ τὰς ἀρχὰς μὲν ψύχειν χρὴ καὶ μάλισθ’ ὅταν ἄνευ φανερᾶς γένηται προφάσεως. ἡνίκα δ’ ἤδη τὸ ζέον ἄπεστιν αὐτοῦ, καὶ σχάσαι συμφέρει καὶ καταπλάσαι θερμῷ τῷ κριθίνῳ καὶ κηρωτὴν καὶ ἄλλο τι φάρμακον ἐντιθέναι τῶν διαφορούντων.

11 85 οὐ μὴν ἀπό γε φλεβὸς αἷμα τῶν γε τοιούτων κενοῦν ἀναγκαῖον, ἀλλ’ αἱ διὰ τῆς κοιλίας ὑποκαθάρσεις ἀρκοῦσι. διδόναι δὲ φάρμακον, ὃ χολὴν ξανθὴν ἄγει. μικροῦ δ’ ὄντος τοῦ παθήματος οὐδὲ τοῦτ’ ἀναγκαῖον, ἀλλ’ ἀρκεῖ κλύσαι δριμεῖ. τὰ δ’ ἐφ’ ἕλκεσιν ἐρυσιπέλατα καὶ ὅσα οὕτω φανερὰς ἔχει τὰς αἰτίας, οὐδ’ εἰ παραχρῆμα βούλοιο καταπλάττειν ἀλεύρῳ κριθίνῳ καὶ μάλιστα καὶ προαποσχάσας, οὐδὲν βλάψεις. τὰς δὲ φλεγμονὰς τὰς ἐρυσιπελατώδεις καὶ τὰ φλεγμονώδη τῶν ἐρυσιπελάτων ἰᾶσθαι, μικτὴν μὲν ὡς οἷόν τε ποιούμενον τὴν ἐπιμέλειαν, ἐναντιούμενον δ’ ἀεὶ τῷ μᾶλλον κρατοῦντι. καὶ βουβώνων δὲ καὶ φυμάτων καὶ φυγέθλων παραπλησίαν ταῖς ἐν τοῖς ἄλλοις μέρεσι γιγνομέναις ὁμοίαις διαθέσεσι τὴν ἐπιμέλειαν ποιεῖσθαι, πλὴν ὅσα δριμυτέρων φαρμάκων ἐπὶ τοῖς αὐτοῖς παθήμασιν ἀνέχεσθαι πεφύκασιν, ὡς ἀδένες. τοὺς δ’ ἕρπητας τὰ μὲν περὶ τὴν τοῦ σώματος ὅλου κένωσιν ὁμοίως τοῖς ἐρυσιπέλασιν ἰᾶσθαι προσήκει· τὰ δὲ περὶ τὴν αὐτοῦ τοῦ πεπονθότος μέρους οὐκ ἔθ’ ὁμοίως.

11 86 ἅπαντες γὰρ οἱ ἀναβιβρωσκόμενοι ψύχεσθαι μὲν ἐθέλουσιν, ὡσαύτως τοῖς ἄλλοις ἕρπησί τε καὶ ἐρυσιπέλασιν· οὐ μὴν ὅσα γε σὺν τῷ ψύχειν καὶ ὑγραίνειν φάρμακα πέφυκε, ταῦτά γ’ ἔτι φέρουσιν, ἀλλὰ μόνον τῶν ψυχόντων προσίενται τὰ ξηραίνειν μάλιστα δυνάμενα. μὴ τοίνυν μήτε θριδακίνην αὐτοῖς μήτε πολύγονον μήτε τὸν ἀπὸ τῶν τελμάτων φακὸν ἢ τὸν ἕλειον λωτὸν ἢ ἀνθύλλιον ἢ ψύλλιον ἢ ἀνδράχνην ἢ σέριν ἢ ἀείζωον ἤ τι τῶν οὕτως ὑγραίνειν τε καὶ ψύχειν δυναμένων προσφέρειν, ἃ τοῖς ἐρυσιπέλασιν ἦν οἰκεῖα. ἀλλὰ μήτε σπόγγῳ ποτὲ θαῤῥήσῃς ὕδατι ψυχρῷ βεβρεγμένῳ μήτε στρύχνῳ, καί τοι καὶ τοῦτο ξηραίνειν τε καὶ ψύχειν πέφυκεν, ἀλλὰ μετρίως. οἳ δ’ ἄρα σφοδροτέρας ἢ κατὰ τὸν στρύχνον δέονται ξηρότητος. ἐπιπλάττειν οὖν αὐτοῖς χρὴ κατ’ ἀρχὰς μὲν ἕλικας ἀμπέλου καὶ βάτου καὶ κυνοσβάτου καὶ ἀρνογλώσσου. μετὰ δὲ ταῦτα τήν τε φακῆν μιγνύειν δεῖ καὶ μελιτός ποτε καὶ ἀλφίτων καὶ τὸ προγεγραμμένον πρὸς τὰς ἐκ ῥεύματος φλεγμονὰς κατάπλασμα, περιελὼν αὐτοῦ τὸ ἀείζωον.

11 87 αὐτὰ δὲ τὰ ἡλκωμένα κατάχριε φαρμάκοις τοῖς πρὸς ἕρπητας ἐπιγεγραμμένοις ἐν ταῖς φαρμακίτισι βίβλοις. πολλὰ δ’ ἐστὶ ταῦτα παρὰ πᾶσι καὶ εἰς κυκλίσκους ἀναπλάττεται τὰ πλεῖστα καὶ δεῖται χρωμένους ἀνίεσθαι γλυκεῖ. μὴ παρόντος δὲ γλυκέος, οἴνῳ λεπτῷ τε καὶ λευκῷ καὶ ὑποστύφοντι, οἷος ὅ τε Φαλερῖνος καὶ ὁ Μασσαλιώτης καὶ ὁ Σαβῖνος καὶ Ἀδριανὸς καὶ Ἀρσύϊνος, μηδέπω μηδὲν ἐν τῇ γεύσει δριμὺ διὰ παλαιότητα κεκτημένοι. καὶ ὀξυκράτῳ δ’ ὑδαρεῖ ποτε χρησάμενος ἀντὶ τούτων οὐδὲν ἧττον ἂν ἔχοις. ἤδη δὲ καὶ χρονιζομένων τῶν ἑλκῶν μήτε γλυκεῖ λύειν τοὺς κυκλίσκους μήτε ὑδαρὲς ἔτι τὸ ὀξύκρατον ἔστω. καὶ τῶν οἴνων δ’ ὅσοι στύφουσιν ἱκανῶς ἀγαθοί· μάλιστα μὲν οἱ μέλανες, εἰ δ’ ἀποροῦμεν αὐτῶν, λευκοί. φάρμακα δ’ ἐν τῷδε τῷ καιρῷ μάλιστα μὲν ἁρμόσει αὐτοῖς, τό τε τοῦ Πολυείδου καὶ Πασίωνος καὶ τὸ Μούσα καὶ τὸ Ἄνδρωνος, ὅσα τ’ ἄλλα τούτοις ἔοικε. τοὺς δὲ τὰ ἐπιπολῆς μόνον ἑλκοῦντας ἕρπητας, εἰ μὴ πάνυ τι κεχρονικότες εἶεν, οὐδὲν χρὴ καταχρίειν τούτων, καίει γὰρ ἰσχυρῶς καὶ ξηραίνει σφοδρῶς, ἀλλ’ ἀρκεῖ τοῖς τοιούτοις ἕρπησιν, ὅσα κατὰ γλαυκίου δύναμίν ἐστι φάρμακα, λύεσθαι δὲ μάλιστα μὲν ὕδατι.

11 88

μηδὲν δ’ ἀνύοντος αὐτοῦ καὶ ὄξους παραπλέκειν· εἰ δὲ καὶ στρύχνου δεύσειας χυλῷ ἢ ἀρνογλώσσου, μειζόνως ὠφελήσεις. ἐν δὲ τῷ καθόλου τοῦτό σε γιγνώσκειν χρὴ ἐπὶ παντὸς ἕλκους εἴτ’ αὐτομάτως εἴτ’ ἀπὸ συμπτώματος εἴτε καὶ τρωθεῖσιν εἴη γεγενημένον, ὡς ξηραίνεσθαι μὲν ἀεὶ βούλεται, φαρμάκῳ δ’ ὡς Ἱπποκράτης φησὶ μὴ περισκελεῖ τουτέστι μὴ δάκνοντι, μηδ’ ἐρεθίζοντι σφοδρῶς, πλὴν εἰ μὴ κακόηθές τε καὶ μετὰ σήψεως εἴη. τὰ γὰρ τοιαῦτα δριμυτάτων δεῖται φαρμάκων καὶ πυρὶ τὴν δύναμιν ἐοικότων, οἷόν ἐστι τό τε μίσυ καὶ ἡ χαλκίτις καὶ ἀρσενικὸν καὶ τίτανος καὶ σανδαράχη· καὶ γὰρ οὖν καὶ καίει παραπλησίως τῷ πυρὶ τὰ τοιαῦτα φάρμακα· πολλάκις δὲ καὶ τούτων νικωμένων αὐτῷ τῷ πυρὶ χρώμεθα. ταῦτ’ ἆρα καὶ τοῖς καλουμένοις ἄνθραξι κατ’ αὐτῆς τῆς ἐσχάρας, ἔνθα μάλιστα σήπεται τὸ μορίον, ἡ τῶν τοιούτων φαρμάκων ἰδέα πρόσφορος, οὐ μὴν τῷ πέριξ χωρίῳ, λήσεις γὰρ αὐτὸς ἑλκώσας αὐτὰ εἰς μηδὲν δέον, ἀλλὰ τοῖς προειρημένοις κυκλίσκοις χρηστέον, οἷος ὁ Ἀνδρώνιος. [15]

11 89 εἰ δέ ποτε ἔρευθος ἐπικρατοίη καὶ πολλὴ φλόγωσις, ἀνιέναι χρὴ γλυκεῖ τὸ φάρμακον ἢ ἀρνογλώσσου χυλῷ. εἰ δ’ ὄγκου μέγεθος ὑπάρχει, οἴνῳ μὲν στρυφνῷ τὸ πρῶτον, ἔπειτα δὲ καὶ ὄξει. καταπλάττειν δὲ τῷ τῶν ὀρόβων ἀλεύρῳ δι’ ὀξυμέλιτος· καὶ πρὸ τούτων ἁπάντων εὐθὺς κατ’ ἀρχὰς ἀφαιρεῖν αἵματος ἱκανὸν, ἤν γε μηδὲν κωλύῃ. Τοιαῦται μέν τινες αἱ τῶν τοιούτων παθῶν ἰάσεις κατὰ γένος· ἐξαλλάττονται δὲ παρὰ τὰς τῶν πεπονθότων ὀργάνων φύσεις. τέτταρες δὲ ἀπὸ τούτων ἐνδείξεις εἰσὶν, ἐκ τῆς κράσεως αὐτῶν, ἐκ τῆς διαπλάσεως, ἐκ τῆς θέσεως, ἐκ τῆς δυνάμεως. ἐκ μὲν τῆς κράσεως, εἰ τὰ μὲν αὐτῶν ξηρότερα φύσει, τὰ δ’ ὑγρότερα, τὰ δὲ ψυχρότερα, τὰ δὲ θερμότερα γέγονε· καὶ κατὰ συζυγίαν ἢ ὑγρότερα καὶ θερμότερα ἢ ὑγρότερα καὶ ψυχρότερα ἢ ξηρότερα καὶ θερμότερα ἢ ξηρότερα καὶ ψυχρότερα ἢ κατὰ πᾶν εὔκρατα. καὶ χρὴ σκοπὸν εἶναί σοι ἐν ταῖς θεραπείαις τὴν φύσιν τοῦ μορίου. τὸ γὰρ μέχρι πόσου ψυκτέον ἢ ξηραντέον αὕτη διδάσκει. τὰ γὰρ σαρκώδη φλεγμαίνοντα βραχέως δεῖται ξηραίνεσθαι· καὶ μὲν δὴ καὶ ὅσα φλεβώδη, κᾂν ᾖ μᾶλλον τῶν σαρκωδῶν ξηρότερα, ἀλλ’ οὐδ’ αὐτά γε ἱκανῶς. [15]

11 90 ὅσα δ’ ἀρτηριώδη τὴν φύσιν ἐστὶ μόρια, μᾶλλον ἔτι τῶν φλεβωδῶν καὶ τούτων ἔτι μᾶλλον τὰ νευρώδη, καὶ πολὺ δὴ μᾶλλον τούτων ὅσα χονδρώδη καὶ ὀστώδη. πρὶν γὰρ εἰς τὴν οἰκείαν ἐπανέλθοι φύσιν τὸ μέρος, οὐδέπω τέλος ἡγητέον ἔχειν τὴν ἴασιν. ἐπανάγει δ’ εἰς τὴν ξηροτέραν μὲν κρᾶσιν, ὅσα φύσει ξηρότατα· εἰς δὲ τὴν ψυχροτέραν ὅσα ψυχρότατα. καὶ κατὰ τὰς ἄλλας δὲ δύο ποιότητας ὁμοίως· εἰς δὲ τὸ μέτριον ἐν ἑκάστῃ τὰ μέτρια. οὕτω μὲν αἱ κράσεις τῶν μορίων ποικίλλουσι τὰς τῶν παθῶν θεραπείας. αἱ δὲ διαπλάσεις ὡδί· τὰ μὲν γὰρ ἔνδον αὐτῶν εὐρύτητας ἔχει, τὰ δ’ ἔξωθεν, τὰ δ’ ἑκατέρωθεν, τὰ δ’ οὐδετέρωθεν· οἷον τῶν μὲν ἁπλῶν αἱ ἀρτηρίαι καὶ αἱ φλέβες καὶ νεῦρα· αἱ μὲν ἐν τοῖς κώλοις ἔνδον αὐτῶν· αἱ δ’ ἐντὸς περιτοναίου καθ’ ἑκάτερα· νεῦρα δὲ τὰ μὲν ἐν τοῖς κώλοις, κατ’ οὐδέτερον· ὅσα δ’ ἐντὸς περιτοναίου, κατὰ θάτερον. τοῖς δὲ σπλάγχνοις σχεδὸν ἅπασιν ἔνδοθέν τε καὶ ἔξωθέν εἰσιν εὐρυχωρίαι μεγάλαι, καὶ προσέτι καὶ ἡ σὰρξ αὐτὴ ἡ μὲν τοῦ πνεύμονος μανή· ἔμπαλιν δ’ ἡ τῶν νεφρῶν πυκνοτάτη· καὶ μετὰ ταύτην ἡ τοῦ ἥπατος. [15]

11 91 ἡ δὲ τοῦ σπληνὸς εἰς ὅσον πυκνοτέρα τῆς τοῦ πνεύμονος, εἰς τοσοῦτον μανωτέρα τῆς τοῦ ἥπατος. ἐν ἅπασιν οὖν τούτοις ὅσα μὲν οὐδετέρωθεν ἔχει κοιλότητας ἐκδεχομένας τὸ περιττὸν τοῦ ῥεύματος, ἰσχυρῶς δεῖται ξηραίνεσθαι, κᾂν μὴ πάνυ ξηρὰ τὴν φύσιν ᾖ, καθάπερ τὰ νεῦρα καὶ μάλιστα τὰ ἐν τοῖς κώλοις. ὅσα δ’ ἔξω τε καὶ εἴσω δύναται χαλάσαι τι τῆς φλεγμονῆς, οὐδὲν δεῖται τά γε τοιαῦτα τῶν ἱκανῶς ξηραινόντων καὶ μάλιστ’ εἰ χαύνην ἔχοι τὴν σάρκα, καθάπερ ὁ πνεύμων. ἡ δ’ ἀπὸ τῆς θέσεως ἔνδειξις οὐδ’ αὐτὴ παροπτέα· δι’ ὧν τε γὰρ χρὴ κενοῦν καὶ ὅπως καὶ ὅθεν, αὐτὴ μάλιστα διδάσκει. τῶν μὲν οὖν ἔτι ἐπιῤῥεόντων ἡ ἀντίσπασις, οὕτω γὰρ ὁ Ἱπποκράτης ὀνομάζει, τῶν δ’ ἤδη κατειληφότων τὸ μόριον ῥευμάτων, ἡ παροχέτευσις ἴαμα. ἄμφω δὲ τὰ εἴδη τῆς κενώσεως διὰ τῶν κοινῶν ποιεῖσθαι κελεύει φλεβῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἷον τὰς ἐπὶ μητρῶν ἀντισπάσεις, εἰ τὴν ἐν ἀγκῶνι τέμνοις φλέβα ἢ παρὰ τοὺς τιτθοὺς σικύας προσβάλλοις ἢ εἰ τὰς χεῖρας θερμαίνοις τε καὶ ἀνατρίψαις καὶ διαδήσαις.

11 92 παροχετεύσεις δὲ τὰς ἐν ἰγνύαις ἢ σφυροῖς διαιρῶν καὶ σικύας μηροῖς προσβάλλων καὶ θερμαίνων καὶ ἀνατρίβων καὶ διαδῶν τὰ σκέλη. καὶ εἰ μὲν ἡ δεξιὰ μήτρα πεπόνθοι, ἐκ δεξιᾶς χειρὸς καὶ σκέλους ἀπάγων τὸ αἷμα. τῆς δ' ἀριστερᾶς πεπονθυίας ἐκ τῶν ἐν ἐκείνῃ κατ' εὐθὺ κώλων. τὸ γὰρ καθ' ἴξιν ὑπ' αὐτοῦ λεγόμενον αὐτὸ τοῦτ' ἔστι τὸ κατ' ἰσότητα. τέμνειν δὲ τὰς ἔνδον φλέβας τοῦ Ἱπποκράτους· αὗται γὰρ ἐγγυτέρω τε τῶν πεπονθότων μορίων καὶ μᾶλλον κατ' εὐθύ. καὶ γὰρ εἰ σπληνὸς φλεγμαίνοντος κενοῦν αἵματος ἐθέλοις, τῆς ἀριστερᾶς χειρὸς τὰς ἔνδον φλέβας τέμνειν, καὶ εἰ ἥπατος, τῆς δεξιᾶς ὡσαύτως. εἰ δέ τι τῶν ἄνωθεν εἴη φλεγμαῖνον, ὡς ἐν συνάγχαις τε καὶ ὀφθαλμίαις καὶ ὅσα περὶ κεφαλὴν, τὰς ἔξωθέν τε καὶ κατ' εὐθύ· τῶν κώλων δ' αὐτῶν πεπονθότων ἀπὸ τῶν ὁμοζύγων ἡ κένωσις, εἴτε ἀντισπᾶν εἴτε παροχετεύειν ἐθέλοις, πλὴν εἰ μὴ χρόνιον εἴη τὸ πάθημα. τηνικαῦτα γὰρ ἀπ' αὐτοῦ τοῦ πεπονθότος. οὕτως οὖν κἀπὶ τῶν συναγχικῶν τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας τέμνομεν, ὅταν ἡμῖν τὸ μὲν ὅλον ἤδη σῶμα κενὸν ᾖ, χρονίζῃ δὲ τὸ πάθος.

11 93 οὕτω δὲ καὶ σπληνὶ καὶ ἥπατι σικύας προσβάλλομεν. οὕτω δὲ καὶ ἄλλο τι καὶ ἄλλο μέρος πεπονθὸς ἀποσχάζομεν, οὐκ ἐπιῤῥεόντων ἔτι τῶν χυμῶν· ἐρεθιεῖς γὰρ αὐτοὺς ἐν τῷδε μᾶλλον καὶ διπλάσιον ἐργάσῃ τὸ κακόν. ἀλλ' ὅταν ἤδη τὸ μὲν ὅλον ἀπέριττον ᾖ σῶμα, μηδὲν δ' ἐπιῤῥέῃ νῦν, ἴσχηται δέ τι τοῦ παλαιοῦ ῥεύματος ἐν τῷ μορίῳ. καὶ μὴν καὶ ὅτι τὰ μὲν ἐν τοῖς κυρτοῖς τοῦ ἥπατος ἐπ' οὖρα χρὴ προτρέπειν, τὰ δ' ἐν τοῖς σιμοῖς ἐπὶ τὴν κάτω διαχώρησιν, ἡ θέσις ἐδίδαξε τοῦ σπλάγχνου. καὶ ὅτι θώρακα μὲν καὶ πνεύμονα διὰ βηχῶν ἐκκαθαίρειν· γαστέρα δὲ καὶ στόμαχον δι' ἐμέτων ἔντερα δὲ ταῖς κάτω διαχωρήσεσιν· ὥσπερ οὖν καὶ σπλῆνα καὶ νεφροὺς μὲν ταῖς δι' οὔρων· μήτραν δὲ ταῖς διὰ τῶν καταμηνίων· ἐγκέφαλον δὲ καὶ μήνιγγας ταῖς δι' ὑπερώας καὶ γαργαρεῶνος καὶ ῥινῶν καὶ ὤτων. ἀλλὰ καὶ ὅτι τοῖς μὲν ἐπιπολῆς μορίοις τοιοῦτον εἶδος χρὴ φαρμάκων προσφέρειν, οἵου δεῖται τὸ πάθος· τοῖς δ' ἐν τῷ βάθει καὶ διὰ πολλῶν τῶν μεταξὺ μέλλουσιν ὁμιλήσειν ταῖς δυνάμεσιν αὐτῶν, οὐχ οἷον νῦν ἐστιν, ἀλλ' οἷον ἔσεσθαι μέλλει παρὰ τῆς θέσεως τῶν μορίων ἐμάθομεν.

11 94 ὥστ' εἴ τι τῶν ἔξωθεν ἐπιτιθεμένων εἴτε τῶν ἐσθιομένων ἢ πινομένων εἴη τὸ φάρμακον, οὐ τὴν παροῦσαν αὐτοῦ δύναμιν ἐπισκεπτέον, ἀλλ' οἵαν ἕξει πλησιάζον τῷ πεπονθότι μορίῳ. ταῦτ' ἄρα ταῖς τοῦ πνεύμονος φλεγμοναῖς, ὅσα προσφέρουσιν ἔξωθεν ἐπιπλάσματα, τῷ θώρακι περιβάλλοντες ἰσχυρότερα πολὺ καὶ δριμύτερα τὴν φύσιν ἐστὶν ἢ εἰ αὐτῷ τῷ σπλάγχνῳ προσεφέρετο. διὰ πολλῶν γὰρ τῶν μεταξὺ σωμάτων τὸ ἐντυγχάνειν μέλλον τῷ πεπονθότι μορίῳ παροδεῦον πάντως ἂν ἐξελύθη τε καὶ ἠμαυρώθη τὴν δύναμιν, εἰ ἐξ ἀρχῆς ἦν ἀσθενές. τοσοῦτον οὖν αὐτοῖς ἐπικτήτου ἰσχύος διδόναι προσῆκεν, ὁπόσον ἡ ὁδὸς ἀφαιρεῖται· ὥστε ἶσον καθίστασθαι τὸ λειπόμενον τῷ διὰ τοῦ ψαύειν ὠφελοῦντι. ταῦτ' ἄρα καὶ αὐτοῦ τοῦ θώρακος τοῖς μὲν ἐπιπολῆς φλεγμαίνουσιν ἱκανὰ, τὰ χαλᾶν μόνον δυνάμενα· τοῖς δ' ἔνδον, ὥσπερ καὶ τῷ ὑμένι τῷ ὑπεζωκότι, δριμυτέρων δεῖ. καὶ περὶ σπληνὸς δὲ καὶ ἥπατος καὶ πάντων τῶν ἔνδον τοῦ περιτοναίου μορίων ὁ αὐτὸς λόγος.

11 95 ἑλκοῦται γὰρ πολλάκις ὑπὸ τῶν ἐπιτιθεμένων φαρμάκων τὸ δέρμα, καί τοι πολὺ σκληρότερόν τε καὶ δυσπαθέστερον ὑπάρχον τῶν σπλάγχνων. καὶ εἰ δυνατὸν ἦν αὐτοῖς τοῖς σπλάγχνοις ἐπιβάλλειν, ὧν ἑκάστοτε δέονται, τοσούτῳ μαλακωτέρων φαρμάκων ἂν ἐδεήθησαν, ὅσῳ καὶ ἡ φύσις αὐτῶν ἐστιν εὐπαθεστέρα. καὶ μὲν δὴ καὶ ὅσα κελεύουσί τε ἐσθίειν καὶ πίνειν φάρμακα τοῖς τῶν σπλάγχνων παθήμασιν ἀρωγὰ, καὶ ταῦτα πολὺ δριμύτερά τε καὶ ἰσχυρότερά ἐστι ταῖς δυνάμεσιν ἢ οἵων δεῖται τὰ πάσχοντα μόρια, πλὴν τῶν γαστρὶ καὶ στομάχῳ συμφερόντων· ταῦτα γὰρ μόνα τοιαῦτα διδόασιν, οἵων χρήζει τὰ πάθη· τὰ δ' ἄλλα πάντα δριμύτερα καὶ ἰσχυρότερα ταῖς δυνάμεσίν ἐστι· καὶ μάλισθ' ὅσα νεφρῶν ἢ πνεύμονος ἕνεκα δίδονται. σκοπεῖν

οὖν ὅσον ἀριθμὸν μορίων διεξέρχεται, τὸ μέλλον εἰς πνεύμονα φέρεσθαι. πρῶτον μὲν στόμα καὶ φάρυγγα καὶ στόμαχον· ἔπειτα δ’ αὐτὴν τὴν γαστέρα καί τινα τῶν λεπτῶν ἐντέρων· εἶτα τὰς ἐν τῷ μεσεντερίῳ φλέβας· εἶτα τὰς ἐν τοῖς σιμοῖς τοῦ ἥπατος· ἐξ ὧν εἰς τὰς ἐν τοῖς κυρτοῖς μεταληφθὲν, ἐντεῦθεν εἰς τὴν κοίλην φλέβα ἔρχεται, μεθ’ ἣν εἰς καρδίαν· ἔπειθ’ οὕτως εἰς πνεύμονα.

11 96 καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς οὐ καθ’ ἕκαστον τούτων τῶν μορίων, χυμοῖς τέ τισιν ἀναμίγνυται καί τινα μεταβολὴν καὶ ἀλλοίωσιν οἰκείαν τῇ φύσει τοῦ σπλάγχνου δέχεται. ὥστε τὸ καταλειπόμενον αὐτοῦ τῆς δυνάμεως παντελῶς ἐστι μικρὸν καὶ ἀμυδρὸν ἢ ὅσον αὔταρκες εἰς τὴν ὠφέλειαν τοῦ πεπονθότος. ἡ μὲν οὖν παρὰ τῆς θέσεως τῶν μορίων ἔνδειξις εἰς τοσοῦτον ἄρα τὴν θεραπείαν ὑπαλλάττει· ἡ δὲ παρὰ τῆς δυνάμεως εἰς ὅσον νῦν ἐρῶ. ἐπειδὴ τῶν μορίων τοῦ σώματος τὰ μὲν ἐπιῤῥύτοις διοικεῖται δυνάμεσι, τὰ δὲ καὶ συμφύτοις· τούτων δ’ αὐτῶν τὰ μὲν ἑαυτοῖς μόνοις, τὰ δὲ καὶ ἄλλοις ἀρχαὶ δυνάμεών εἰσι· καὶ τῶν μὲν ἴδιον τοὖργόν ἐστι, τῶν δὲ κοινὸν, ἀναγκαῖον ὑπαλλάττεσθαι τὸ τῆς θεραπείας εἶδος ἐν ἑκάστῃ τῶν εἰρημένων διαφορῶν. πολλὰ γὰρ τῶν προειρημένων βοηθημάτων λύει μὲν τὰ πάθη, βλάπτει δὲ τὰς συμφύτους τῶν μορίων δυνάμεις, ὧν δὲ ἡ βλάβη παντὶ τῷ σώματι διαφέρει, διττῶς τούτου γιγνομένου, παρ’ ὅσον ἤτοι δυνάμεώς ἐστιν ἀρχὴ τὸ σπλάγχνον, ἅπασι τοῖς μέρεσι κοινὴ ἢ τοὖργον αὐτοῦ παντὶ τῷ σώματι χρήσιμον.

11 97 ἧπαρ μὲν γὰρ καὶ καρδία καὶ ἐγκέφαλος καὶ ὄρχεις ἀρχαὶ δυνάμεών εἰσι κοιναὶ ὅλῳ τῷ σώματι. γαστρὶ δὲ καὶ μήτρᾳ ἔμφυτοι μὲν αἱ δυνάμεις καὶ οὐδενὸς ἄλλου κοιναί. τό γε μὴν ἔργον τὸ μὲν τῆς γαστρὸς ἅπαντι τῷ σώματι χρήσιμον· τὸ δὲ τῶν μητρῶν οὐκέτι. βλάπτει δὲ πολλάκις ἡ τοῦ πάθους ἴασις τὴν δύναμιν τοῦ μέρους· τά τε γὰρ ἀμέτρως χαλῶντα λύει τὸν τόνον, ὥστε καὶ τὴν δύναμιν τοῦ μέρους· τὰ δ’ ὑπερβαλλόντως ψύχοντα σβέννυσι τὸ ἔμφυτον θερμὸν, ὃ τάχα μὲν, ὥς τισιν ἔδοξε τῶν ἀρίστων ἰατρῶν τε καὶ φιλοσόφων, ἡ οὐσία τῶν δυνάμεών ἐστιν, εἰ δὲ μὴ, ἀλλὰ τό γε πρῶτόν τε καὶ ἀναγκαιότατον αὐτῶν ὄργανον. ἤδη δὲ καὶ ποιότητές τινες ἄτοποι καταλυτικαὶ τῶν δυνάμεών εἰσιν. οὐδὲν οὖν τούτων χρὴ παρέρχεσθαι κατὰ τὰς ἰάσεις, ἵνα μή ποτε λάθωμεν ἡμᾶς αὐτοὺς εἰπόντας τὸ μὲν πάθος ἐθεραπεύθη, ὁ δὲ ἄνθρωπος ἀπέθανεν· ὅπερ ὁσημέραι γιγνόμενον ὁρᾷς ὑπὸ τῶν πλείστων, ὅσοι τήν τε ἄλογον τριβὴν πρεσβεύουσι καὶ τὴν ἅπασι τοῖς τῆς τέχνης καλοῖς λυμηναμένην αἵρεσιν μεθοδικὴν, ἤ τινας λόγους μεταδιώκει δογματικοὺς μὲν, ἀλλὰ καὶ πολλῶν ἁμαρτημάτων ἀνάπλεως.

11 98 ἐν τῇ παρὰ τῆς δυνάμεως ἐνδείξει τῶν μορίων εἴη δ’ ἂν καὶ τὸ δυσαίσθητον ἢ εὐαίσθητον ὑπάρχειν αὐτό. τὰ γὰρ εὐαίσθητα δριμέων οὐκ ἀνέχεται φαρμάκων, ὥσπερ οὐδὲ χυμῶν. ἐν γοῦν τῷ στόματι τῆς κοιλίας δριμέος τινὸς χυμοῦ περιεχομένου συγκόπτονται πολλάκις· εἰ δὲ τὰ μετριώτατα πάσχοιεν, ἀλύουσί τε καὶ ναυτιῶσι, ποτὲ μὲν ἐμοῦντες τὸν λυποῦντα χυμὸν, ἔσθ’ ὅτε δὲ μάτην σπαραττόμενοι· καὶ γίνεται τοῦτο κατ’ ἐκείνας μάλιστα τὰς διαθέσεις, ἐν αἷς εἰς τὸ στόμα τῆς γαστρὸς ὁ μοχθηρὸς ἀναπίνεται χυμός. ὁμοίως δὲ καὶ τοῖς ὀφθαλμοῖς ἐπιῤῥέων ὁ τοιοῦτος χυμὸς ὀδυνηρότατός ἐστι καὶ φλυκταίνας ἑλκώδεις τε καὶ δυσιάτους ἐργάζεται. ὡσαύτως οὖν οὐδὲ τῆς τῶν δριμέων φαρμάκων ὁμιλίας ὀφθαλμὸς ἀνέχεται διὰ τὴν εὐαισθησίαν, ὥσπερ οὐδὲ τὸ στόμα τῆς γαστρός. οὐ μὴν οὐδ’ ἐπικειμένου τινὸς ἔξωθεν βαρύνοντος, ἀνέχεται ταῦτα τὰ μόρια· καὶ μᾶλλόν γε τῆς γαστρὸς ὁ ὀφθαλμός· ὅπου γ’ ἐνίοτε καὶ πρὸς τῶν ἐπιχριομένων φαρμάκων βαρύνεται.

11 99 τὰ δ’ ἀναισθητότερα μόρια καὶ καταπλασμάτων ἀνέχεται βαρέων καὶ φαρμάκων δακνόντων. εἰ γοῦν πέμπτην τις ἐθέλοι πρὸς ταῖς εἰρημέναις τέτταρσι τὴν ἀπὸ τῆς εὐαισθησίας ἔνδειξιν ἀριθμεῖν, εἴτ’ οὖν περιλαβεῖν τὴν κατὰ δύναμιν, οὐδὲν ὡς πρὸς τὸ καλῶς ἰᾶσθαι διαφέρει. τούτων οὖν ἀεὶ χρὴ μεμνῆσθαι τῶν ἐνδείξεων ἐπὶ παντὸς μορίου πάσχοντος ὁτιοῦν πάθος. ἥ τε γὰρ κρᾶσις αὐτοῦ καὶ ἡ διάπλασις ἥ τε θέσις καὶ ἡ δύναμις ὑπαλλάξει τὰς κατὰ μέρος ἡμῶν

ἐνεργείας φυλαττομένου τοῦ κοινοῦ σκοποῦ· τοῦτον γὰρ ἔφαμεν ἐκ τοῦ πάθους ἀεὶ δεῖν λαμβάνεσθαι. τὰ μὲν οὖν κατὰ ψιλὴν καὶ μόνην δυσκρασίαν γιγνόμενα νοσήματα διὰ τῶν ἐναντίων ποιοτήτων θεραπεύεται· θερμὴ μὲν δυσκρασία διὰ τῶν ψυχόντων, εἴτ' οὖν πρώτως εἴτε καὶ κατὰ συμβεβηκὸς εἴη ταῦτα ψύχοντα· ψυχρὰ δὲ διὰ τῶν θερμαινόντων. οὕτω δὲ καὶ ξηρὰ μὲν διὰ τῶν ὑγραινόντων· ὑγρὰ δὲ διὰ τῶν ξηραινόντων. περὶ δὲ τοῦ πρώτως θερμαίνοντος ἢ κατὰ συμβεβηκὸς ἐπὶ πλεῖστον, ὡς οἶσθα, ἐν τῇ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐπεσκεψάμεθα πραγματείᾳ, ἐπιδεικνύντες ἐνίοτε καὶ τὸ πρώτως ψῦχον θερμαίνειν κατά τι συμβεβηκὸς, ὥσπερ καὶ τὴν τοῦ ψυχροῦ κατάχυσιν ὕδατος, ὅταν ἐπανάκλησιν θέρμης ποιῆται· καὶ τὴν τοῦ θερμοῦ ψύξιν, ὅταν ἀραιῶσαν τὸ σῶμα διαφορήσῃ τὴν ἐν αὐτῷ θερμασίαν. [15]

11 100 αἱ μὲν οὖν κατὰ μόνας τὰς δραστικὰς ποιότητας ἀλλοιώσεις τῶν σωμάτων ὑπὸ μόνης τῆς διὰ τῶν θερμαινόντων τε καὶ ψυχόντων ὑγραινόντων τε καὶ ξηραινόντων δυνάμεως εἰς τὸ κατὰ φύσιν ἄγονται, μὴ δεόμεναι κενώσεως αἰσθητῆς. αἱ δὲ δι' ἐπιῤῥοὴν ὕλης, εὐκράτου μὲν οὔσης αὐτῆς, κενώσεως χρῄζουσι μόνης, δυσκράτου δὲ, κενώσεώς τε ἅμα καὶ τῆς διὰ τῶν ἐναντίων ποιοτήτων ἀλλοιώσεως· κενώσεως μὲν, ὥσπερ αἱ ῥευματικαὶ καλούμεναι, περὶ ὧν ἓν ἡμῖν, ὡς οἶσθα, γέγραπται βιβλίον· ἐν ᾧ καὶ τοῦτο εὐθέως κατ' ἀρχὰς ἐδείχθη, τὸ τῆς θρεπτικῆς δυνάμεως ὅλου τοῦ σώματος ἀῤῥωστούσης, γίγνεσθαι τὰς διαθέσεις ταύτας, ῥεούσης τῆς ἀθροιζομένης περιουσίας εἰς τὰ πάντων ἀτονώτατα μόρια. τοῦ μέν τοι ῥέοντος αἵματος εἰς τὰ τοιαῦτα μόρια κατὰ τὰς ῥευματικὰς διαθέσεις ἔχοντός τινα κακοχυμίαν ἡ διάθεσις γίνεται μικτή· καὶ γίγνοιτ' ἂν ἴσως τοῦτο σπανιώτατα. [15]

11 101 διὰ παντὸς γὰρ ὤφθη μοι, χωρὶς φλέγματος ἢ ξανθῆς χολῆς ἢ μελαίνης αἷμα τῇ συστάσει λεπτὸν ἐπιῤῥέον. ἐξ ἄλλης δέ τινος αἰτίας εἰς ὄγκον ἀρθέντος τοῦ μορίου σκοπεῖν εἴτε φλεγμονὴ τὸ πάθος ἐστὶν εἴτε σκίῤῥος εἴτε οἴδημα, φλεγμονὴν ὀνομαζόντων ἡμῶν ἅπασαν τὴν θερμὴν καὶ οἷον φλογώδη διάθεσιν, ἧς τὰς διαφορὰς ὀλίγον ἔμπροσθεν εἴπομεν. ὥρα τοίνυν ἤδη περὶ τῶν οἰδημάτων ὑποθέσθαι σοι διὰ βραχέων, ἀναμνήσεως ἕνεκεν ὧν κατὰ διέξοδον ἤκουσας ἡμῶν λεγόντων. Ὀνομάζομεν οὖν οἴδημα τὸν ἀνώδυνον μὲν καὶ χαῦνον ὄγκον. ἐπιδέδεικται δ' οὗτος ἐκ φλεγματώδους οὐσίας γιγνόμενος ἢ πνεύματος ἀτμώδους, ὁποῖόν τι καὶ κατὰ τὰ νεκρὰ γίνεται σώματα καὶ κατὰ τοὺς πόδας τε καὶ σκέλη πολλάκις, ἐν ὑδερικαῖς διαθέσεσι καὶ φθόαις καὶ καχεξίαις ἑτέραις. ἀλλ' ἐπ' ἐκείνων μὲν σύμπτωμά ἐστι τὸ τοιοῦτον οἴδημα διαθέσεων ἐπισφαλῶν, οὐδεμιᾶς ἰδίας ἐξαιρέτου θεραπείας δεόμενον αὐτό. καὶ γὰρ ἀνάτριψις μόνη δι' ὀξυῤῥοδίνου καί ποτε δι' ἁλῶν καὶ ἐλαίου ἢ καὶ τῶν ἁλῶν ἐμβληθέντων τῷ ὀξυῤῥοδίνῳ κατέστησεν αὐτὸ καὶ ἄλλα πολλὰ τοιαῦτα. [15]

11 102 διὰ δὲ τὸν φλεγματικὸν χυμὸν ἐπιῤῥυέντα μορίῳ, ἐπιγενομένου τοῦ πάθους, ἐνίοτε μὲν σπόγγος ὕδατι βεβρεγμένος ὀλίγον ὄξους ἔχων κατέστησε τὸ πάθος· εἰ δὲ μὴ καταστήσειε, βραχὺ πλεῖον ἐπιβλητέον τοῦ ὄξους, ὥστε τὸ μὲν σύμμετρον τοιοῦτον εἶναι κατὰ τὴν κρᾶσιν, ὡς δύνασθαί τινα καὶ πίνειν αὐτοῦ. τούτου δὲ τὸ μὲν ὑδαρέστερον ἐν ἀρχῇ παραληπτέον ἐπὶ μαλακῶν μάλιστα σωμάτων· τὸ δ' ἰσχυρότερον ἐπί τε γενναίων καὶ σκληρὸν ἐχόντων δέρμα καὶ πρὸς τὰς πρώτας ἐπιθέσεις τοῦ σπόγγου μηδὲν ὠφεληθέντων. εἶναι δὲ χρὴ τὸν σπόγγον πάντως καινόν· εἰ δὲ μὴ παρείη τοιοῦτος, ἔστω ἀκριβῶς ἐκπεπλυμένος ἀφρονίτρῳ τε καὶ νίτρῳ καὶ τῇ καλουμένῃ κονίᾳ στακτῇ. μὴ παυσαμένου δὲ μηδ' ἐπὶ τούτοις τοῦ οἰδήματος, ἐπεμβάλλειν χρὴ βραχὺ στυπτηρίας καὶ τὸν σπόγγον πάντως ἐπιτιθέναι καινόν. εἰ δὲ καὶ κατά τι τῶν κώλων τὸ τοιοῦτον οἴδημα γένοιτο, τῆς ἐπιδέσεως ἐκ τῶν κάτω μερῶν ἀρχόμενον ἄνω τελευτᾷν τὴν ἐπιβολὴν καὶ τὴν πίεσιν καὶ τὴν σύμπασαν νομὴν ὡς ἐπὶ καταγμάτων ποιούμενον. ὁ γάρ τοι σκοπὸς τῆς θεραπείας ἐπὶ τῶν τοιούτων παθῶν μικτός ἐστι· τὸ μέν τι διαφορεῖν τῆς οὐσίας αὐτῶν, τὸ δέ τι συνάγειν καὶ σφίγγειν. [15]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 103 εἰ τοίνυν ἐπὶ τοῖς προειρημένοις μὴ καθίσταιτο, τότε τῶν ἰσχυροτέρων φαρμάκων ἃ μικτὴν ἔχει τὴν κρᾶσιν ἐκ τῶν εἰρημένων δυνάμεων ἐπιβάλλειν. ἐγὼ δὲ ἐπὶ κεχρονικότος οἰδηματώδους ὄγκου προϋπαλείψας ἐλαίῳ τὸ μόριον εἶτ’ ἐπιθεὶς σπόγγον ἐκ κονίας καὶ σφίγξας βιαιότερον, οἶδα τελέως ἐκθεραπευθὲν τὸ πάθος, οὐκέτι δηλονότι τῆς τοιαύτης ἀγωγῆς σκοπὸν ἐχούσης, τὸ μικτὸν τῶν δυνάμεων, ἀλλ’ ἐπὶ τὸ διαφορητικόν τε καὶ τμητικὸν ἀποκλινάσης, ὅπερ ἐπὶ τῶν χρονιζόντων σχεδὸν ἁπάντων ἴσμεν εὐδοκιμοῦν. ἐπεὶ δὲ καὶ περὶ τῶν οἰδημάτων αὐτάρκως εἴρηται πρός γε σὲ, περὶ τῶν σκιῤῥωδῶν ὄγκων ἐφεξῆς ἂν εἴη ῥητέον. Ὁ μὲν οὖν ἀκριβὴς σκίῤῥος ὄγκος ἐστὶ παρὰ φύσιν ἀναίσθητός τε καὶ σκληρός. ὁ δ’ οὐκ ἀκριβὴς οὐκ ἀναίσθητος μὲν παντάπασι, δυσαίσθητός γε μήν ἐστι πάντως. ὁ μὲν οὖν ἀναίσθητος σκίῤῥος ἀνίατος. ὁ δὲ δυσαίσθητος οὐκ ἀνίατος μὲν, οὐ μὴν εὐίατος. γίνεται γὰρ ἐκ γλίσχρου καὶ παχέος χυμοῦ δυσλύτως ἐμπλαττομένου τοῖς σκιῤῥουμένοις μορίοις· ἐνίοτε μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς κατὰ βραχὺ συνίσταταί τε καὶ αὐξάνεται.

11 104 τὰ πολλὰ δ’ ὑπὸ τῶν ἰατρῶν κατασκευάζεται, στυψάντων καὶ ψυξάντων σφοδρῶς ἐρυσιπέλατά τε καὶ φλεγμονάς. ἐὰν μὲν οὖν τις τὰ ἰσχυρῶς διαφοροῦντα τοῖς σκιῤῥουμένοις σώμασι προσφέρῃ φάρμακα καὶ σαφῆ μείωσιν ἐργασάμενος τοῦ σκίῤῥου, χρόνῳ βραχεῖ θαῤῥήσει περὶ τῆς παντελοῦς θεραπείας οὐκ ἀληθῶς, ἀγνοῶν ὅτι τῷ τοιούτῳ τρόπῳ τῆς θεραπείας τὸ λείψανον τοῦ πάθους ἀνίατον γίνεται. διαφορηθείσης γὰρ ἐξ αὐτοῦ τῆς λεπτομεροῦς ὑγρότητος ἡ λοιπὴ ξηρανθεῖσα λιθώδης ἀποτελεῖται. οὔκουν χρὴ σφοδρῶς ξηραίνοντι τὰ σκιῤῥούμενα μόρια θεραπεύειν φαρμάκῳ, ἀλλὰ θερμασίαν μὲν ἔχειν χλιαρὰν, ὑγρότητα δ’ οὔτε πολλὴν οὔτε παντάπασιν ἐλαχίστην. τὸ μὲν γὰρ ὑπερβαλλόντως ὑγρὸν οὐδ’ ὅλως διαφορεῖ· τὸ δ’ ὀλιγοστὴν ἔχον ἰκμάδα ξηραίνει σφοδρότερον ἢ προσήκει. χρὴ τοίνυν ὑπὲρ τοῦ μέλλοντος ὀνήσειν φαρμάκου. τὸ σκιῤῥούμενον σῶμα τοῖς ἐν ἡλίῳ χεομένοις ὅμοιόν τι πάσχειν. ὀνομάζεται δὲ τὰ τοιαῦτα φάρμακα μαλακτικά· καὶ λέλεκται περὶ αὐτῶν ἐπὶ πλέον ἐν τῷ πέμπτῳ τῆς περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείας.

11 105 καὶ τὰ παραδείγματα αὐτῶν εἴρηται, τά γε ἁπλᾶ μυελοί τε σύμπαντες καὶ στέατα. πρωτεύει δὲ τῶν μὲν μυελῶν πάντων ὁ ἐλάφειος· εἶτα ὁ μόσχειος. στεάτων δὲ ἐν μὲν τοῖς πτηνοῖς ζώοις τὸ χήνειον· ἐν δὲ τοῖς πεζοῖς τὸ λεόντειον. ἐφεξῆς δὲ χηνείῳ μὲν τὸ τῆς ἀλεκτορίδος· λεοντείῳ δὲ τὸ τῶν παρδάλεων καὶ τὸ τῶν ἄρκτων· εἶτα τὸ τῶν ταύρων. τὸ δὲ τῶν αἰγῶν παχύτερόν τε τούτων ἐστὶ καὶ ξηρότερον· ἔτι δὲ μᾶλλον αὐτοῦ τὸ τῶν τράγων. ὅτι δ’ οὐ δεῖται τῶν ἰσχυρῶς ξηραινόντων φαρμάκων τὸ πάθος τοῦτο, προείρηται. περὶ δὲ τῆς κατὰ λεπτομέρειάν τε καὶ παχυμέρειαν αὐτῶν διαφορᾶς ἐνδεικτικῶς μὲν εἴρηται, σαφῶς δ’ οὐδέπω. διὸ νῦν ἀναμνῆσαί σε προσήκει τῶν ῥηθέντων ἡμῖν πρὸς ἀλλήλους, ὅτε τὸ τοῦ Κερκυλλίου παιδάριον ἐθεράπευον, ἐξ ἐρυσιπέλατος σφοδρῶς στυφθέντος τε καὶ ψυχθέντος ὄγκον σκιῤῥώδη ἔχοντος ἐν ὅλῳ τῷ μηρῷ. λεπτομερῆ γὰρ ἡμῖν ἐφαίνετο δεῖν εἶναι τὰ μέλλοντα θεραπεύειν αὐτὸ φάρμακα, διὸ κατήντλουν ἐλαίῳ τὸν μηρὸν, ἐν σκάφῃ καθίζον βαθείᾳ τὸ παιδάριον, ἐχούσῃ πλῆθος ἐλαίου τοῦ Σαβίνου, διότι λεπτομερέστατον ἔλαιον ἴσμεν ἁπάντων αὐτό.

11 106 λουτροῦ δ’ ἀπεῖχον ὅτι μὴ διὰ πλειόνων ἡμερῶν ἕνεκα τῆς τοῦ παντὸς ἐπιμελείας σώματος. μετὰ δὲ τὴν εἰρημένην κατάντλησιν τὰ διὰ τῶν εἰρημένων μυελῶν τε καὶ στεάτων φάρμακα προσέφερον, ἐνίοτε δὲ καὶ βδελλίου τοῦ Σκυθικοῦ μιγνὺς καὶ μαστίχης Αἰγυπτίας καὶ ἀμμωνιακοῦ θυμιάματος, τοῦ λιπαροῦ τε καὶ μὴ παλαιοῦ καὶ χαλβάνης ὡσαύτως. καὶ ἐπειδὴ διὰ τούτων προπαρεσκεύαστο, λύσας ἀμμωνιακὸν τὸ λιπαρώτατον ὄξει δριμυτάτῳ κατέχρισα τὸν μηρὸν ὅλον ἐν κύκλῳ. κἄπειτα δι’ ἡμερῶν αὖθις ὀποπάνακος ἔμιξα τὸ λιπαρώτατον, ὄξει δριμυτάτῳ ἐκλύων καὶ τούτου δηλονότι τὸν πρόσφατον, οὐ γὰρ ἂν ἄλλως ἔτι διαμένοι λιπαρός· ὥσπερ οὐδὲ τὸ βδέλλιον οὐδὲ τὸ ἀμμωνιακὸν οὐδὲ ἡ χαλβάνη. καὶ ἀσκωλιάζειν δὲ κατὰ θατέρου σκέλους ἐποίουν τὸ παιδάριον, ὅπως ἐπ’ ἐκεῖνο φέροιτο τὸ πλέον τῆς τροφῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὕστερον δ’ ὡς ἤδη προσέσταλτο μὲν ὁ σκιῤῥώδης ὄγκος, ἐδεδίειν δὲ μήτι λείψανον αὐτῷ μένοι τοὐναντίον ἅπαν εἰργαζόμην, ἐπιχρίων τινὶ τῶν πιττωτῶν φαρμάκων τὸν μηρόν.

11 107 ἐφαίνετο δὲ σαφῶς ἐπὶ μὲν τοῖς δι’ ὄξους ἐπιχρίμασιν ἀξιολόγως καθαιρούμενος ὁ σκιῤῥώδης ὄγκος· ἐπὶ δὲ τοῖς χαλαστικοῖς μαλακυνόμενος μὲν, ἐλάττων δ’ οὐ γινόμενος. ἀλλ’ ἡ μετὰ μέτρου τοῦ προσήκοντος ἐναλλὰξ αὐτῶν χρῆσις ἐθεράπευσε τὸ παιδάριον. ὡς εἴγε διὰ θατέρου γένους μόνου τῶν φαρμάκων ἐποιεῖτό τις τὴν θεραπείαν αὐτῶν, οὐκ ἂν ἔλυσε τὸν σκίῤῥον. ἐπὶ δὲ τῶν τενόντων, ὀνομάζω δ’ οὕτω δηλονότι τὰς ἀπονευρώσεις τῶν μυῶν, ἐπὶ τῇ λεγομένῃ χρήσει τῶν φαρμάκων ἐναργεστάτην ὠφέλειάν ἐστιν ἰδεῖν, εἴ τις καλῶς χρήσαιτο τῇ διὰ τοῦ πυρίτου λίθου θεραπείᾳ· χρὴ δὲ διάπυρον αὐτὸν ἐργασάμενον ὄξει δριμυτάτῳ καταῤῥαίνειν, εἶτα διακινεῖν τὸ πεπονθὸς μόριον ὑπὲρ τὸν λίθον, ὡς ἂν ὑπὸ τῆς ἀναφερομένης ἀτμίδος ὁ σκίῤῥος λύοιτο. πολλὰ γὰρ ἤδη τελέως ἠγκυλωμένα τε καὶ κεκυλλωμένα διὰ τούτου τοῦ τρόπου τῆς θεραπείας, ἐν αὐτῷ τῷ διακινεῖν ἐθεραπεύθη τελέως, ὡς τὸ πρᾶγμα παραπλήσιον εἶναι μαγείᾳ. χρὴ δὲ προπαρεσκευάσθαι μεμαλαγμένον τὸ σκιῤῥῶδες μόριον ὑφ’ ὧν εἴρηκα βοηθημάτων. ἀλλὰ καὶ κατὰ ταύτην τὴν διὰ τοῦ πυρίτου λίθου θεραπείαν προκαταντλεῖσθαι πολλάκις ἐλαίῳ δαψιλῶς θερμῷ Σαβίνῳ ἢ ἄλλῳ τινὶ τῶν λεπτομερῶν· οὐ χεῖρον δὲ καὶ ἀνήθου τὴν κόμην ἐναφεψήσασθαι καὶ μᾶλλον, εἰ χλωρὸν εἴη καὶ πρόσφατον.

11 108 εἰ δὲ μὴ παρείη πυρίτης, τῷ μυλίτῃ χρηστέον· ὀνομάζουσι δ’ οὕτως ἐκεῖνον τὸν λίθον, ἐξ οὗ τὰς μύλας κατασκευάζουσιν, ἐφ’ ὧν ἀλήθουσι τὸν σῖτον. Σπλῆνα μέντοι σκιῤῥούμενον οὐ μόνον ἔξωθεν ἰσχυροῖς φαρμάκοις θεραπεύειν προσήκει, ἀλλὰ καὶ διὰ πομάτων ἰσχυροτάτων. ἀνέχεται γὰρ καὶ τούτων ἀλύπως. ἄριστα δ’ ἐξ αὐτῶν καππαρέως ῥίζης φλοιὸς καὶ σκολοπενδρίου καὶ μυρίκης αἵ τε ῥίζαι καὶ οἱ ἀκρέμονες. ἕψειν δὲ τὰ τοιαῦτα πάντα προσήκει ἐν ὄξει τε καὶ ὀξυμέλιτι. πολλάκις δ’ ἁπτομένῳ φαίνεται μὲν ἀντίτυπος ὁ σπλὴν, οὐ μὴν σκιῤῥώδης ἐστὶν ὁ ὄγκος, ἀλλὰ πνευματώδης μᾶλλον. ἐφ’ οὗ προαποβρέξαντα δι’ ἀψινθίου φάρμακον ἔμπλαστρον ἐπιτιθέναι χρὴ μικτῆς δυνάμεως, ὁποῖόν ἐστι τὸ διὰ θείου τε καὶ στυπτηρίας. ἔστι δ’ ἀμέλει τὰ πλεῖστα τῶν ἐν ταῖς φαρμακίτισι βιβλίοις γεγραμμένων φαρμάκων τοιαῦτα. πρόσεχε δὲ οὐχ ἁπλῶς τῇ δυνάμει τῶν μεμιγμένων φαρμάκων, ἀλλὰ καὶ τῷ πόσῳ τῆς μίξεως.

11 109 ἐπὶ γὰρ τῶν πνευματώδη τὸν ὄγκον ἐχόντων σπληνῶν καὶ μᾶλλον ἐπὶ τῶν οἰδημάτων, κἂν πολὺ τῶν στυπτηριῶν ἐμβάλλῃς, οὐδὲν βλάψεις. ἐπὶ δὲ τῶν σκιῤῥωδῶν προσήκει ἐπικρατεῖν τὴν διαφορητικὴν δύναμιν, ὀλίγον δ’ αὐτῇ μεμίχθαι τῆς στυφούσης. ἓν γοῦν τῶν ἁπλῶν τε καὶ αὐτοφυῶν φαρμάκων τοιοῦτον ὑπάρχον ἁλὸς ἄνθος ἰᾶται σκιῤῥουμένους σπλῆνας, ἐπιτεθὲν ἔξωθεν αὐτοῖς ἐν κύστει. ἥπατος δὲ σκίῤῥον ἀρχόμενον μὲν ἰασάμεθα πολλάκις· ἐκταθέντα δ’ εἰς πλείους ἡμέρας οὔτ’ αὐτὸς ἠδυνήθην ἰάσασθαι, οὔτ’ ἄλλον τινὰ εἶδον ἰάσασθαι δυνηθέντα. πᾶσι μὲν οὖν τοῖς οὕτω παθοῦσιν ἐξ ἅπαντος ὕδερος ἕπεται. διαφθείρονται δ’ οἱ πλεῖστοι ἐν χρόνω μακροτέρῳ. τινὰς δ’ ἱστόρησα καὶ διὰ ταχέων ἀπολομένους, οἷς ἡ γαστὴρ διεχώρει πολλά. πρόδηλον οὖν ὅτι τούτοις ἱκανῶς ἐστέγνωτο τὰ στόματα τῶν μεταλαμβανόντων τὴν τροφὴν ἀγγείων, ἐκ τῶν σιμῶν τοῦ ἥπατος εἰς τὰ κυρτά. τοὺς δ’ οὖν θεραπευθέντας ἐξ αὐτῶν ἡ προειρημένη τῶν ἐν τοῖς μυώδεσι σκίῤῥων ἀγωγὴ διέσωσεν. οὐ γὰρ φέρει τὸ σπλάγχνον τοῦτο τὰ σφοδρὰ φάρμακα, καθάπερ ὁ σπλήν.

11 110 ἐπιτείνειν οὖν χρὴ τὰ διὰ φλεγμονὴν αὐτῷ προσαγόμενα τῇ μίξει τῶν μαλακτικῶν. ἦν δ’ ἐκεῖνα τὰ δι’ ἀψινθίου κόμης καὶ μυροβαλάνου πιέσματος καὶ νάρδων ἀμφοτέρων Ἰνδικῆς τε καὶ Κελτικῆς, ἔτι δὲ κρόκου καὶ οἰνάνθης καὶ μαστίχης Χίας καὶ μύρων τῶν διὰ ναρδοστάχυος σκευαζομένων, ἔτι δὲ μαστιχίνου καὶ σχινίνου καὶ μηλίνου καὶ οἰνανθίνου. τούτοις οὖν ἀμμωνιακόν τε θυμίαμα καὶ βδέλλιον, οἵ τ’ εἰρημένοι μυελοὶ καὶ τὰ στέατα μιγνύμενα καὶ τὰ τέμνειν δυνάμενα, τὸν γεννώμενον ἐν ἥπατι σκίῤῥον ἰάσαιντο μετὰ τῆς προσηκούσης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δηλονότι διαίτης καὶ τῶν ἅμα αὐτῇ πινομένων φαρμάκων, σκοπὸν ἐχόντων ἐκφράξαι τε καὶ διαῤῥύψαι τὸν χυμὸν τὸν ἐν τῷ σπλάγχνῳ. ἔστι δὲ ταῦτα πάντα καὶ τῶν ἐν νεφροῖς λίθων θρυπτικά· καὶ γέγραπται πολλοῖς ἰατροῖς περὶ τῆς ὕλης αὐτῶν. ἐπιμιγνύναι δὲ χρὴ τοῖς τοιούτοις καὶ τῶν οὐρητικῶν τι· παμπόλλη δ’ ἐστὶ καὶ τούτων ἡ ὕλη, γεγραμμένη μὲν ὑπὸ πολλῶν, εἰρημένη δὲ καὶ πρὸς ἡμῶν ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις. διὸ καὶ νῦν ἀρκείτω καὶ πρὸς σὲ τὰ εἰρημένα. Μεταβῆναι γὰρ ἤδη καιρὸς ἐφ’ ἕτερον ὄγκου γένος, ᾧ τῆς γενέσεως ἡ ὕλη πνεῦμα φυσῶδές ἐστι.

11 111 ὀνομάζεται δ’ οὐ μόνον φυσῶδες, ἀλλὰ καὶ φῦσα τὸ τοιοῦτον πνεῦμα, παχὺ καὶ ἀτμῶδες ὑπάρχον, οὐκ αἰθερῶδες τὴν οὐσίαν οὐδὲ λεπτόν· ἐννόησον δ’ αὐτοῦ τὴν φύσιν ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἀναμνησθεὶς, ὁποῖος μὲν ἐν νοτίοις καταστάσεσιν, ὁποῖος δ’ ἐν βορείοις γίνεται. τῷ μὲν γὰρ ἐν νοτίοις καταστάσεσιν ἔοικε τὸ φυσῶδες· τῷ δ’ ἐν βορείοις τὸ κατὰ φύσιν ἐν ἡμῖν πνεῦμα· συμβάλλεται δ’ εἰς τὸ μὴ διαπνεῖσθαι τὸ τοιοῦτον πνεῦμα καὶ ἡ τῶν σωμάτων πύκνωσις. ὥστε καὶ ἡ ἴασις τοῦ πάθους τούτου τὸν σκοπὸν ἕνα καὶ κοινὸν ἀμφοῖν ἕξει τὴν τῶν πεπυκνωμένων σωμάτων ἀραίωσιν καὶ τὴν τῶν πεπαχυσμένων πνευμάτων λέπτυνσιν. θερμαίνων γὰρ ἱκανῶς ἅμφω δι’ οὐσίας λεπτομεροῦς ἀραιώσεις μὲν τὸ πεπυκνωμένον, λεπτυνεῖς δὲ τὸ πεπαχυσμένον. ἡ δὲ τῶν πασχόντων μορίων φύσις συνενδείξεταί σοι τήν τ’ ἐπιτήδειον ὕλην τῶν βοηθημάτων καὶ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτῇ. τὸ γάρ τοι πνεῦμα τοῦτο τὸ παχὺ καὶ ἀτμῶδες ἔσθ’ ὅτε μὲν ὑπὸ τοῖς περιοστείοις ὑμέσιν ἀθροιζόμενον ἴσχεται· ποτὲ δ’ ὑπὸ τῷ περιτοναίῳ· ποτὲ δ’ ἐντὸς τῶν ἐντέρων ἢ τῆς γαστρός.

11 112 ἴσχεται δέ ποτε καὶ ὑπὸ τῶν τοὺς μῦς περιεχόντων ὑμένων ἔνδον, ὥσπερ γε καὶ ὑπὸ τῶν ὑμενωδῶν τενόντων. ἴσχεται δὲ καὶ κατὰ τὰς λόγῳ θεωρητὰς χώρας ἔν τε τοῖς μυσὶ καὶ τοῖς ἄλλοις σώμασιν· ὧν χωρίων τὴν φύσιν ἐν ταῖς ἀνατομικαῖς ἔμαθες ἐγχειρήσεσιν. οὕτω γοῦν καὶ αὐτὸς ὁ μὺς ἐμφυσᾶται. καὶ κατὰ τὸ τῆς γαστρὸς ἢ τὸ τῶν ἐντέρων σῶμα κατακλείεται πνεῦμα φυσῶδες· ὅταν δὲ καὶ ψυχρὸν ἱκανῶς ᾖ τοῦτο, μεγίστην ὀδύνην παρέχει. θεραπεία δὲ κοινὴ μὲν ἁπάντων, ὡς εἴρηται, διὰ λεπτομεροῦς οὐσίας· καὶ ὅταν γε μετ’ ὀδύνης ᾖ τὸ πάθημα, τοιαύτης τὴν φύσιν ὡς πραΰνειν τὰ ἀλγήματα δύνασθαι. κατὰ δὲ τὴν τῶν πασχόντων μορίων διαφορὰν ἥ θ’ ὕλη τῆς θεραπείας ὑπαλλάττεται καὶ ἡ δύναμις ἐπιτείνεται καὶ ἀμβλύνεται. διὰ τοιοῦτον οὖν πνεῦμα τῆς ὀδύνης γιγνομένης ἐν τῇ κάτω γαστρὶ, τὸ λεπτομερὲς ἔλαιον ἐνιεὶς ἅμα τοῖς ἐναφηψημένοις αὐτῷ φαρμάκοις, αὐτίκα παύσεις αὐτήν.

11 113 τὰ δ’ ἐναφηψημένα τῷ ἐλαίῳ φάρμακα θερμαίνοντα μετὰ λεπτομερείας ἔστω κύμινόν τε τὸ παρ’ ἡμῖν καὶ μᾶλλον αὐτοῦ τὸ καλούμενον Αἰθιοπικὸν καὶ σελίνου καὶ πετροσελίνου σπέρμα καὶ μαράθρου καὶ σίνωνος καὶ ἀνίσου τε καὶ λιβυστικοῦ καὶ σεσέλεως καὶ δαύκου καὶ σπονδυλίου. καὶ εἰ τεκμαίροιο ψυχρὰν εἶναι τὴν διάθεσιν τῶν ὀδυνωμένων μορίων, καὶ πήγανον καὶ μάραθρον καὶ δαφνίδας ἐναφεψήσεις καὶ μίξεις ἄσφαλτόν τε καὶ αὐτὸ τὸ δάφνινον, ὅσα τ’ ἄλλα τῶν οὕτω θερμαινόντων ἐστίν. εἰ δὲ καὶ φλεγμονὴν μεμίχθαι ταῖς τοιαύταις ὀδύναις ὑπολάβοις, ἀφαιρήσεις μὲν τὰ δριμέα πάνυ καὶ θερμαίνοντα σφοδρῶς. ἐπὶ δὲ τὰ μετρίως τοιαῦτα μεταβήσῃ χαλαστικὴν ἔχοντα δύναμιν. ἐναφεψήσεις οὖν τῷ ἐλαίῳ τὸ ἄνηθον, οὐ τὸ πήγανον, καὶ μίξεις στέαρ χήνειον ἢ ἀλεκτορίδος. ἀλλὰ ταῦτα μὲν ἐπὶ μεγάλοις ἀλγήμασι. τὰ δὲ μέτρια καὶ ἡ ἔξωθεν ὤνησε πυρία, μάλιστα μὲν διὰ κέγχρων, ἡ γὰρ κουφότης αὐτῶν ἀλυποτάτη τοῖς ὀδυνωμένοις ἐστί. τούτων δὲ μὴ παρουσῶν ἢ δι’ ἁλῶν θερμανθέντων ἢ δι’ ὠμόλινον ἢ ὁπωσοῦν ἄλλως. καὶ σικύα δὲ μεγάλη μετὰ φλογὸς δαψιλοῦς ἄνευ τοῦ σχάσαι τὸ δέρμα πολλάκις ἀνωδύνους διὰ ταχέων εἰργάσατο.

11 114 χρὴ δὲ περιλαμβάνειν αὐτὴν τὸν ὀμφαλόν. εἰ δ’ ἐπὶ τούτοις ἐπιμένοιεν αἱ ὀδύναι, τολμήσεις χρήσασθαι τοῖς δι’ ὀπίου φαρμάκοις, ὁποῖόν ἐστι καὶ τὸ τοῦ Ταρσέως Φίλωνος ἅπασι τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰατροῖς γινωσκόμενον, εἰδὼς μὲν ἐξ ἀνάγκης τινὰ βλάβην τοῖς πεπονθόσι μορίοις ἐκ τῶν τοιούτων φαρμάκων ἐσομένην, ἀλλὰ πρὸς τὸ κατεπεῖγον ἐνιστάμενος αἱρήσῃ μετὰ μικρᾶς βλάβης σῶσαι τὸν ἄνθρωπον ὑπὸ τοῦ τῆς ὀδύνης μεγέθους συγκοπτόμενον. ἐξέσται γάρ σοι ταῖς ἑξῆς ἡμέραις ἐπανορθώσασθαι τὴν γεγενημένην βλάβην ὑπὸ τοῦ φαρμάκου. καλεῖται μὲν οὖν ἀνώδυνα φάρμακα τὰ τοιαῦτα τῷ παύειν τὰς ὀδύνας. ἐργάζεται δὲ τὴν ἀνάπαυλαν αὐτῶν οὐ τὰς διαθέσεις θεραπεύοντα τελέως, ἀλλὰ τὴν αἰσθητικὴν δύναμιν ναρκοῦντα. χρῆσθαι δὲ προσήκει τῷ Φιλωνείῳ φαρμάκῳ καὶ πᾶσι τοῖς δι᾽ ὀπίου σκευαζομένοις οὐκ εὐθέως, ἀλλὰ μετὰ χρόνον τῆς συνθέσεως ἐνιαύσιον ἢ πάντως γε μῆνας ἕξ. μάλιστα μὲν οὖν καὶ τάχιστα διὰ τῶν πινομένων φαρμάκων οἱ κάμνοντες ἀνώδυνοι γίγνονται, πεπονθότων αὐτοῖς τῶν λεπτῶν ἐντέρων, ὥσπερ γε καὶ διὰ τῶν ἐντιθεμένων τῇ ἕδρᾳ ταχέως ὠφελοῦνται τὰ τῶν παχέων ἐντέρων παθήματα.

11 115 γίνεται δὲ οὐ σμικρὰ τῆς δυνάμεως διάδοσις κἀκ τῶν πινομένων τοῖς κάτω πεπονθόσι, κἀκ τῶν ἐντιθεμένων τῇ ἕδρᾳ τοῖς τὰ ἄνω πάσχουσιν. ἥ γε μὴν ἐν τοῖς σαρκώδεσι μέρεσι τοῦ φυσώδους πνεύματος ἄθροισις ἔστιν ὅτε παντάπασιν ἀνώδυνος γίνεται καὶ χρόνῳ παραμένει πλείονι καὶ μάλισθ᾽ ὅταν ἐγγὺς ᾖ διαρθρώσεως. ἐνταῦθα γάρ τοι καὶ οἱ μύες αὐτοὶ νευρωδέστεροί τε καὶ πυκνότεροι καὶ σαρκωδέστεροί τε καὶ ἀραιότεροι κατὰ τὰ μέσα σφῶν αὐτῶν. ἐθεράπευσα δὲ, ὡς οἶσθα, τὰς τοιαύτας διαθέσεις τοῖς διὰ πίττης καὶ ῥητίνης καὶ τερεβινθίνης καὶ στέατος λεοντείου καὶ ταυρείου φαρμάκοις. ἁρμόζει δ᾽ ἐπ᾽ αὐτῶν καὶ τὸ διὰ γλοιοῦ καὶ τιτάνου καὶ τὸ διὰ τοῦ συκομόρου, καὶ συνελόντι φάναι τὰ λεπτομερῆ γενναίως, ἐπιμιγνυμένων αὐτοῖς τῶν μαλακτικῶν. Ἐπειδὴ δὲ καὶ περὶ τούτων ἱκανῶς εἴρηται, μεταβαίνειν καιρὸς ἐπὶ τὸν περὶ τῶν ἀποστημάτων λόγον. ὀνομάζουσι δ᾽ οὕτω τὰς διαθέσεις ἐκείνας, ἐν αἷς ἀλλήλων ἀφίσταται τὰ πρότερον ἀλλήλων ψαύοντα σώματα.

11 116 χώραν οὖν ἀναγκαῖον ἐν τῷ μεταξὺ γενέσθαι κενὴν, ἥτις ἤτοι πνευματώδη τινὰ οὐσίαν ὑγρὰν ἢ ἐξ ἀμφοῖν σύνθετον περιέξει. μεθίστανται δ᾽ εἰς τοῦτο καὶ τῶν φλεγμονῶν ἔνιαι, καὶ τῶν ἐρυσιπελατωδῶν δὲ καὶ φλεγμονωδῶν οὐκ ὀλίγαι. συνίσταται δὲ καὶ χωρὶς τούτων ἡ τῶν ἀποστημάτων διάθεσις ἐκ περιουσίας μέν τινων ὑγρῶν ἢ πνευμάτων ἀτμωδῶν, ἤτοι δ᾽ ἐν αὐτοῖς τοῖς πάσχουσι σώμασιν ἐν μέσῳ γεννωμένων ἢ ἐξ ἑτέρων ἐπιῤῥεόντων, λόγῳ τῶν καλουμένων ἀποσκημμάτων. ὀνομάζουσι δ᾽ οὕτω τὰς διαθέσεις ἐκείνας, ὅταν χυμοί τινες ἐνοχλοῦντες πρότερον ἑτέρῳ μορίῳ καταλιπόντες ἐκεῖνο εἰς ἕτερον μεταστῶσιν. ὅτῳ δ᾽ ἂν τρόπῳ γένηται διάθεσις ἀποστήματος, ἡ μεταξὺ χώρα τῶν ἀφισταμένων σωμάτων πληροῦται τῶν ἐργαζομένων αὐτὴν ὑγρῶν. ἅπερ ἐνίοτε χρονίζοντα πολυειδῶς ἀλλοιώσεις ἴσχει. καὶ γὰρ λίθοις καὶ ψάμμοις καὶ ὀστράκοις τε καὶ ξύλοις, ἄνθραξί τε καὶ πηλῷ καὶ γλοιῷ καὶ ἀμοργῇ καὶ τρυγὶ καὶ πολλοῖς ἄλλοις τοιούτοις εὕρηται πολλάκις, ἐν ἀποστήμασιν ὅμοια περιεχόμενα σώματα. τῶν μὲν οὖν ἐπιπολῆς ὑπὸ τῷ δέρματι συνισταμένων ἥ τε διάγνωσις ῥᾴστη καὶ ἡ ἴασις οὐ χαλεπή.

11 117 διαγιγνώσκεται μὲν γὰρ ἑτοίμως τῇ τῆς ἁφῆς ἰδιότητι. θεραπεύεται δὲ διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων, διὸ οὐ δεόμεθα τῶν πινομένων, ὥσπερ ὅσα διὰ βάθους καὶ μάλιστα κατὰ σπλάγχνα συνίσταται. κατὰ μὲν οὖν τὰς διαγνώσεις εἴκει τοῖς ἐπερειδομένοις δακτύλοις τὰ ἐκπυΐσκοντα, τὴν ἀντιτυπίαν οὐκ ἔχοντα τῶν φλεγμαινόντων μορίων. τὴν διάγνωσιν οὖν παρέχει σαφῆ. ἰδιότης δὲ τῆς ἕξεως ἑτέρα μέν ἐστιν ἐπὶ λεπτοῖς ὑγροῖς, ἑτέρα δ᾽ ἐπὶ παχέσι, καθάπερ γε καὶ ἐπὶ γλίσχρῳ καὶ μυξώδει χυμῷ. πολλάκις δ᾽ ἡμῖν ὑποπίπτει μετὰ τάσεως πνευματώδους ἀφεστός τι μόριον, οὗ διαιρεθέντος εὑρέθη θρόμβος αἵματος, ὥστε καὶ ὅστις ἐθεάσατο δὶς ἢ τρίς που τοιαύτην διάθεσιν, ἐὰν φιλόπονος ᾖ καὶ μνήμων, ἱκανὸς ἔσται διαγινώσκειν ἐν τοῖς τοιούτοις ὄγκοις περιεχόμενον θρόμβον ἐκ τοῦ παραθέσθαι τῇ μνήμῃ τὴν ἰδιότητα τῆς τάσεως καὶ τῆς εἴξεως. ἴσως δ᾽ ἄμεινόν ἐστιν οὐκ ἰδιότητα λέγειν, ἀλλὰ ποσότητα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τάσεώς τε καὶ εἴξεως. ἡ θεραπεία δὲ τῶν ἐπιπολῆς φλεγμονῶν ἀφισταμένων ἀρχομένης μὲν ἔτι τῆς ἀποστάσεως διὰ τῆς ἀνωδύνου τε καὶ χαλαστικῆς ἀγωγῆς, ἤδη δὲ προηκούσης ἐπὶ τὴν πεπτικήν τε καὶ διαπυητικὴν ἰδίως ὀνομαζομένην μεταβαινόντων γίνεται· λέλεκται δὲ περὶ αὐτῆς, ὥσπερ οὖν καὶ περὶ τῶν ἄλλων τοιούτων, ἐν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως συντάγματι.

11 118 ὕδατί τε οὖν ἐπὶ πλεῖον καταντλεῖν προσήκει, καταχέοντας ἔλαιον θερμὸν τοῦ φλεγμαίνοντος μορίου καὶ καταπλάττειν τῷ τῶν πυρῶν ἀλεύρῳ δι’ ὕδατος καὶ ἐλαίου συμμέτρως ἕψοντας· θᾶττον γὰρ ἄγει πρὸς διαπύησιν τοῦτο τοῦ δι’ ἄρτου καταπλάσματος. ἐκεῖνο μὲν γὰρ διαφορητικώτατόν ἐστιν, ὡς ἂν ἁλῶν τε καὶ ζύμης ἔχον, ὠπτημένον τε καλῶς. οὐδὲν δ’ ὑπάρχει τούτων τῷ δι’ ἀλεύρου πυρίνου. καὶ ὅταν γε τὴν ἀρχομένην ἐκπυΐσκεσθαι φλεγμονὴν θεραπεύων ἐλπίσῃς κωλῦσαι τὴν ἐκπύησιν, ἐπὶ πλεῖστον ἕψε τὸν ἄρτον, ἐλαίῳ δηλονότι καὶ ὕδατι φυράσας· πολλαπλάσιον δ’ ἔστω τὸ ὕδωρ τοῦ ἐλαίου. μᾶλλον δ’ ἔτι τούτου κωλύει τὴν ἐκπύησιν τὸ τῶν κριθῶν ἄλευρον ὁμοίως σκευαζόμενον. τὸ δ’ ἐν τῇ θεραπείᾳ ταύτῃ καταντλούμενον ὕδωρ ἡψημένην ἐχέτω μετ’ αὐτοῦ ῥίζαν ἀλθαίας.

11 119 εἰ δὲ τάσις εἴη τοῦ περὶ τὸ φλεγμαῖνον μόριον δέρματος ἰσχυρὰ, σχάζειν αὐτοῦ δεῖ πολλάκις ἐπιπολαίαις ἀμυχαῖς· καὶ μετὰ ταῦτα τὸ κρίθινον ἄλευρον ἕψοντας, ὡς εἴρηται, καταπλάττειν. ἐπειράθην δὲ πολλάκις ἐπιπολῆς τε καὶ πάνυ λεπτῶν ἀμυχῶν· ἔμπαλιν δὲ ταύταις διὰ βάθους ἑτέρων μεγάλων καὶ τρίτων ἄλλων μεταξὺ τῶν εἰρημένων ἐν μήκει τε καὶ βάθει. αἱ μὲν οὖν ἐπιπολῆς ἀσθενῆ τὴν βοήθειαν εἶχον. αἱ δὲ βαθεῖαί τε καὶ μακραὶ πλεῖστον μὲν ἐκένουν τοῦ αἵματος, ὡς ἐγγὺς ἀφικνεῖσθαι λειποθυμίας· αὗται δὲ πάλιν ἰδίας ἐδέοντο θεραπείας, ὥσπερ τραύματα. τὰς διὰ μέσου δ’ αὐτῶν ἀμφοτέρων ἔξω τῶν εἰρημένων ἀτόπων καθεστηκυίας εὗρον ἀεί· καὶ διὰ τοῦτο χρῆσθαι μᾶλλον εἱλόμην αὐταῖς πρὸ τῶν ἄλλων. ἐφ’ ὧν μέν τοι δυσεκπύητός τε καὶ δυσδιαφόρητος ὁ ὄγκος ἐστὶ, τοὺς ἐσφηνωμένους χωμοὺς ἡγητέον εἶναι παχυτέρους τε καὶ γλισχροτέρους. ἐν δὲ ταῖς τοιαύταις διαθέσεσι μόναις ἐπιτήδειός ἐστιν ἡ διὰ τῶν βαθέων ἀμυχῶν ἴασις, ἐπιτήδειον δὲ καὶ τὸ διὰ τῶν ἡψημένων ἰσχάδων κατάπλασμα. χρὴ δ’ οὐκ αὐτὰς ἰσχάδας λαμβάνειν, ἀλλὰ τὸ ὕδωρ ἐν ᾧ διετάκησαν ἡψημέναι.

11 120 προσήκει δὲ δηλονότι γλυκείας τε καὶ λιπαρὰς τὰς ἰσχάδας εἶναι, ὡς ἐν αὐταῖς ἔχειν ὑγρότητα παραπλησίαν μέλιτι· καὶ εἰ τοιαύτας λαβὼν ἑψήσειας ἄχρι πλείστου, τὸ ἀφέψημα μέλιτι λεπτῷ κατὰ τὴν σύστασιν ἔσται παραπλήσιον. τούτῳ τοιγαροῦν τῷ ὕδατι ποτὲ μὲν κρίθινον ἄλευρον ἀναδεύειν προσήκει, ποτὲ δ’ ἄρτον συγκόμιστον· ὀνομάζουσι δ’ οὕτω τὸν μέσον τοῦ τε ἀκριβῶς καθαροῦ καὶ τοῦ πιτυρίτου καλουμένου. προσαγορεύουσι δ’ ἔνιοι τὸν τοιοῦτον ἄρτον αὐτόπυρον· ἐπειδὴ τοῦ μὲν καθαροῦ τὸ ἄλευρον, οὐχ οἷόν πέρ ἐστι τῇ φύσει, τοιοῦτον εἰς τὴν ἀρτοποιΐαν λαμβάνουσιν, ἀλλὰ προδιαττῶντες ἀποκρίνουσι τὸ πίτυρον. ἔμπαλιν δὲ τοῦ πιτυρίτου προαφαιροῦσι τὸ καθαρώτατον. ὁ δ’ αὐτόπυρος ἄρτος, οἷον περιέχει τὸ ἄλευρον, ὁ πυρὸς αὐτοφυῶς τοιοῦτον φυλάττει. χρὴ δὲ καὶ τὸν πυρὸν αὐτὸν, ἐξ οὗπερ τὸ ἄλευρον λαμβάνεται, τῶν εὐγενῶν ὀνομαζομένων εἶναι. τινὲς μὲν γὰρ πυροὶ πλεῖστον ἐν ἑαυτοῖς ἔχουσι τὸ πίτυρον, οὓς δὴ καὶ ἀγενεῖς ὀνομάζουσιν· ἔνιοι δὲ τὴν σεμίδαλιν, οὓς, ὡς ἔφην, εὐγενεῖς προσαγορεύουσιν. οὔκουν χρὴ πιτυρίαν εἶναι τὸν πυρὸν, ἐξ οὗπερ χρήσιμον εἰς τὸ κατάπλασμα λαμβάνομεν ἄλευρον, ἀλλ’ ὡς εἴρηται τῶν πολλὴν ἐχόντων σεμίδαλιν.

11 121 εἰ δ’ ἐξ ἀγενοῦς σίτου λαμβάνοις τὸ ἄλευρον, ἀποκρίνειν αὐτοῦ χρὴ μέρος τι τοῦ πιτύρου καὶ οὕτω τὸν μέσον ἄρτον ἐργάζεσθαι· τοῦ τοιούτου τοίνυν ἄρτου τὸ μέσον καὶ ἁπαλὸν εἰς τὰ καταπλάσματα μιγνύναι, ὅταν ὡς ἔφην ἐν τῷ μέσῳ κατὰ δύναμιν ἀλεύρου κριθίνου τε καὶ πυρίνου βουληθῇς ποιῆσαι τὸ κατάπλασμα. τὸ μὲν γὰρ πύρινον ἄλευρον ἐκπυητικώτατόν ἐστι καὶ πεπτικώτατον· τὸ δὲ κρίθινον διαφορητικώτατον. ὁ δ’ εἰρημένος ἄρτος ἐν τῷ μεταξὺ τούτων, ὥσπερ γε καὶ τὸ ἄλευρον αὐτοῦ τῶν εἰρημένων ἀλεύρων πυρίνων μεταξύ. πρὸς ταῦτ’

οὖν ἀποβλέπων καὶ τῷ τῶν ἰσχάδων ἀφεψήματι μίγνυε, ὅ τι περ ἂν ἁρμόττειν σοι δοκῇ τῶν ἀλεύρων ἢ τῶν ἄρτων. εἰ δὲ διαφοροῖτο μὲν ὁ ὄγκος, ἐλλιπέστερον δ’ ἢ προσῆκε, συνέψειν χρὴ ταῖς ἰσχάσιν ὕσσωπον ἢ ὀρίγανον. εἰ δὲ ἰσχυρότερόν ποτε ξηρᾶναι βουληθείης τὸν ὄγκον, ἅλας ἐπιβάλλειν τῷ ἀφεψήματι· κᾄπειθ’ οὕτως ἀναδεύσαντας αὐτῷ τὸ τῶν κριθῶν ἄλευρον, ἀφαιρήσαντας δὲ καὶ τούτων τὸ πιτυρῶδες πᾶν, οὕτω καταπλάττειν ἐπὶ πλέον ἕψοντας.

11 122 ἐπί γε μὴν τῶν δυσδιαφορήτων ὄγκων εὐλαβητέον ἐστὶ τὸ λείψανον αὐτῶν γενέσθαι σκιῤῥῶδες. ὥστε καὶ προσέχειν χρὴ τὸν νοῦν ἀκριβῶς ἐφ’ ἑκάστης λύσεως, ἐφ’ ὅ τι μεθίσταται τῶν θεραπευομένων ὄγκων ἕκαστος· ἡ γὰρ διὰ τῶν ξηραινόντων ἰσχυρῶς ἀγωγὴ σκιῤῥῶδες αὐτῶν τὸ κατάλοιπον ἐργάζεται· γνώσῃ δὲ τοῦτο καθ’ ἑκάστην λύσιν, ἁπτόμενος τοῦ πεπονθότος μορίου καὶ παραβάλλων τῷ πρόσθεν ὄντι τὸ νῦν φαινόμενον. ἐὰν οὖν ποτε τοιαύτην ὑποψίαν ἔχῃς, ἐναφεψεῖν τῷ ὕδατι σικύου ἀγρίου ῥίζαν ἢ βρυωνίας ἢ ἀσάρου, πολλάκις μὲν καὶ αὐτῶν μόνων, ἐνίοτε δὲ καὶ τῶν λιπαρῶν ἰσχάδων ἐπεμβάλλων· εἶτα τῷ ὕδατι μιγνύειν τὸ ἄλευρον, ἀναμιγνύντα τι καὶ στέατος αὐτῷ χηνὸς μάλιστα ἢ ἀλεκτορίδος· εἰ δ’ οὐκ ἔχεις ταῦτα, τοῦ γε τῶν συῶν. καὶ αὗται δ’ αἱ ῥίζαι τῶν προειρημένων βοτανῶν καὶ πρὸς αὐταῖς τῆς ἀλθαίας μετὰ τὴν σύμμετρον ἀφέψησιν λειούμεναι σὺν ἄρτῳ τε καὶ στέατι τοὺς τοιούτους ὄγκους διαφοροῦσιν. ἰσχυροτέρα δὲ τούτων ἐστὶν ἡ τοῦ δρακοντίου· καὶ εἴποτε βουληθείης χρῆσθαι αὐτῇ λεπτομερεστέρᾳ τε πολὺ τῶν εἰρημένων οὔσῃ καὶ διαφορητικωτέρᾳ, μίγνυε πάντως τὸ στέαρ· εἰ μὴ γὰρ ὑγραίνοις τε καὶ μαλάττοις τοὺς σκιῤῥουμένους ὄγκους, ἀλλὰ διαφοροίης μόνον ἰσχυροτέροις φαρμάκοις, ἐν μὲν ταῖς πρώταις ἡμέραις ἀξιολόγως αὐτοὺς καθαιρήσεις, ἅμα τῷ σκληρύνειν τὸ καταλειπόμενον· αὐτὸ δὲ τοῦτο σκληρυνθὲν ἔσται δύσλυτον.

11 123 ἄμεινον οὖν, ὡς ἔφην; τοῖς διαφοροῦσιν ἰσχυρῶς φαρμάκοις ἀναμιγνύναι τὰ μαλάττοντα, τὴν εἰς σκίῤῥον μετάπτωσιν αὐτῶν εὐλαβούμενον· καὶ αὐτῶν δὲ τῶν σκιῤῥουμένων ἤδη τῆς θεραπείας τὸν τρόπον ἔμπροσθεν ἤκουσας. αὖθις οὖν ἐπὶ τοὺς ἐκπυϊσκομένους ὄγκους ἴωμεν· οὓς ὅταν ἀπογνῷς διαφορῆσαι, τοῖς διὰ τοῦ πυρίνου ἀλεύρου καταπλάσμασι χρῶ. συλλαμβάνουσι γὰρ ἱκανῶς τῷ τάχει τῆς ἐκπυήσεως. ἔπειτα στομώσας ἐὰν μὲν ἀκριβῶς ᾖ τὰ πέριξ τῆς τομῆς ἀφλέγμαντα, τοῖς ἐμπλάστοις φαρμάκοις θεράπευε. ξηραντικὴ δ’ αὐτῶν ἡ δυνάμις καὶ ἄδηκτος ἔστω, μὴ διὰ τῶν στυφόντων συγκειμένη φαρμάκων, ἀλλ’ ἤτοι τῶν ἀλύπως διαφορούντων μόνον ἢ καί τι βραχὺ στύψεως ἐχόντων. ἐχρησάμην δ’ ἐγὼ πολλάκις ἐπὶ τῶν τοιούτων τῷ διὰ τῆς ζύμης καὶ τῶν κεκαυμένων ὀστρέων.

11 124 εἰ δέ τι τῶν πέριξ τῆς τομῆς φλεγμαίνοι, τῷ διὰ τῆς χαλκίτεως ἐλαίῳ τήξας, ὅταν ἀτρέμα ψυχθῇ, κατακεράσας εἰς θυείαν, μαλάττων τε ταῖς χερσὶ καὶ οἶνον παραχέων, ὡς οἶσθα. πολυχρηστότατον δ’ ἐστὶ τοῦτό μοι τὸ φάρμακον, ὡς ἐν τοῖς περὶ συνθέσεως φαρμάκων ὑπομνήμασι λέλεκται. γενήσεται δ’ ἂν θεὸς ἐθέλῃ καὶ περὶ τῶν κατὰ τὰ μόρια παθῶν πραγματεία· καθ’ ἣν τάς τε δυνάμεις ἁπάντων τῶν συνηθῶν μοι φαρμάκων ἀκριβῶς ἐξηγήσασθαι πειράσομαι καὶ τὴν ἐπιτήδειον ὑφηγήσασθαι χρῆσιν. ἀλλὰ σύ γε τούτων ἤδη τῶν φαρμάκων, ὧν ἐμνημόνευσα κατὰ τὸ βιβλίον τοῦτο, τὰς συμμετρίας τε καὶ σκευασίας ἔχεις παρ’ ἡμῶν λαβών. ὅταν γε μὴν ἐπὶ πλέον ἐκτακῇ τὸ δέρμα κατὰ τὰς ἐκπυήσεις, ὡς ῥακῶδες γενέσθαι, δυσκόλλητον ἀποτελεῖται τοῖς ὑποκειμένοις σώμασιν· ὥστ’ ἀναγκαῖον εἶναι, τῇ καλουμένῃ κατὰ πλάτος ἀγωγῇ θεραπεύεσθαι τὸ ἕλκος. Ὅταν δ’ ἐπὶ πλέον ἀκόλλητον ᾖ τὸ δέρμα τοῖς ὑποκειμένοις σώμασι, κόλπον ὀνομάζουσι τὸ τοιοῦτον πάθος· ἐφεξῆς δ’ ἀναμνήσω σε καὶ τῆς τούτου θεραπείας, ἣν ἐθεάσω με πολλάκις ἐπὶ πολλῶν ποιησάμενον.

11 125 οὔσης οὖν τοιαύτης διαθέσεως, βέλτιον μὲν αὐλίσκον εὐθύτρητον ἢ ἐκ χαλκοῦ πεποιημένον ἢ ἐκ κέρατος ἡτοιμάσθαι σοι· μὴ παρόντος δ’ ἐκείνου, τῶν καλουμένων πυουλκῶν ὅστις ἂν εὐρύτατον ἔχοι τρῆμα· καὶ τό γε διὰ χάρτου κεκαυμένου συντιθέμενον ἡμέτερον φάρμακον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἶδάς με πολλάκις ὀλίγον πολλῷ ῥοδίνῳ μιγνύντα, καὶ διὰ τοῦ τοιούτου πυουλκοῦ τοῖς κόλποις ἐνιέντα· κᾆπειτα μοτῷ τιλτῷ μύοντα τὸ στόμιον. ὅσα δ’ ἐμπλαστὰ φάρμακα τήκοντες ῥοδίνῳ τοῖς τοιούτοις ἐνίεμεν, οὐ διεξέρχεται τὸν πυουλκόν· ἀλλ’ ἐπὶ τούτων κύστιν προσήκει λαβόντα χοιρείαν, προστιθέναι τὸν εὐθύτρητον αὐλίσκον. εἶναι δὲ χρὴ τὰ τηκόμενα φάρμακα δριμύτερα τῶν ἐμμότων ὀνομαζομένων· ὁποῖα ταῦτ’ ἐστὶ τὰ συνήθη πᾶσι, χλωρὰ τῇ χροιᾷ. προσήκει μὲν γὰρ αὐτὰ τοῦ ῥοδίνου κατὰ τὴν τῆξιν οὐκ ὀλίγον ἔχειν, ὥστ’ ἐνίεσθαι τῷ κόλπῳ δύνασθαι. καταλύεται δὲ τῶν ἐμμότων ἡ δύναμις ἐν ταῖς τοιαύταις μίξεσιν.

11 126 ὅσα τοίνυν ἐμπλαστὰ φάρμακα τελέως ὄντα, καθάπερ τό τε τοῦ Μαχαιρίωνος καὶ τὸ τοῦ Ἐπιγόνου καὶ τὸ προσαγορευόμενον Ἶσις εἰς τὴν τῶν ἐμμότων χρῆσιν ἀγόμενα κηρωτῆς μιγνυμένης δεῖται, ταῦτα γὰρ ἐπιτήδεια τοῖς κόλποις ἐστί. δι’ ὃ γὰρ αὐτοῖς ἡ κηρωτὴ μίγνυται, διὰ τοῦτο καὶ νῦν ἐστιν ἐπιτηδεία. μίγνυται δὲ διότι δακνώδη ταῖς δυνάμεσίν ἐστιν, εἰ τακείη μόνα αὐτὰ καθ’ αὑτὰ μὴ μιχθείσης αὐτοῖς τῆς κηρωτῆς. ἀλλ’ ὅταν γε τὸ μὲν ἔλαιον ᾖ ῥόδινον πολὺ, τὸ δ’ ἐν αὐτῷ τηκόμενον φάρμακον ὀλίγον οὐκ ἔτι μένει δριμέα. συμμέτρως δ’ ὑποσαρκωθέντος τοῦ κόλπου, τῶν κολλητικῶν τι φαρμάκων ἐπιθήσεις, ὡς εἰ καὶ πρόσφατον ἔναιμον ἐθεράπευες τραῦμα. πολλὰ δὲ τοιαῦτά ἐστι· τὰ μὲν δι’ ἀσφάλτου σκευαζόμενα, καὶ καλοῦσιν οὐκ οἶδ’ ὅπως αὐτὰ βαρβάρους ἐμπλάστρους· ἕτερα δὲ φάρμακα κιῤῥὰ ἢ φαιὰ τὰ διὰ λιθαργύρου τε καὶ ἰοῦ μέχρι πλείονος ἑψηθέντα. γίνεται γὰρ οὗτος ὁ ἰὸς κίῤῥος, ὁ δ’ ἐπ’ ὀλίγον ἑψηθεὶς τὰς μηλίνας ὀνομαζομένας ἐμπλάστρους ἐργάζεται. γιγνώσκεις δ’ ὅτι πάντα τὰ μεταλλικὰ φάρμακα λεπτομερέστερά τε καὶ ξηραντικώτερα γίνεται μέχρι πλείονος ἑψόμενα.

11 127 τοῖς γε μὴν ἐν τῷ παραυτίκα κιῤῥοῖς φαρμάκοις ἀποτεθεῖσιν ἐπίπαγός τις ἔξωθεν ἐπιπήγνυται φαιὸς, ὑφ’ ᾧ τὸ βάθος τοῦ φαρμάκου κιῤῥότερον ἢ ἐξ ἀρχῆς φαίνεται. καὶ διὰ τοῦτο τινὲς μὲν διχρώμους ὀνομάζουσι τὰς τοιαύτας ἐμπλάστρους, τινὲς δὲ διπροσώπους. ὅσῳ δ’ ἂν ὦσι λεπτομερέστεραί τε καὶ ξηραντικώτεραι, τοσούτῳ μᾶλλον ἐνεργήσουσιν ἐπὶ τὸν κόλπον. εἰς βάθος γὰρ αὐτῶν χρὴ διϊκνεῖσθαι τὴν δύναμιν, εἰ τοῦ προκειμένου σκοποῦ τυγχάνειν μέλλοιεν. αἱ δὲ τὰ πρόσφατα καὶ ἔναιμα τραύματα κολλῶσαι, κᾂν ἧττον τούτων ξηραίνωσι, κολλῶσι τὰ χείλη τῶν τραυμάτων. ἐὰν μὲν γὰρ εἴη βραχέα τε καὶ ἀβαθῆ, δι’ αὐτὸ τοῦτο ῥᾷόν τε καὶ θᾶττον ἀνύουσι τὸ δέον, ἐὰν δὲ εἰς βάθος διήκῃ τὸ τραῦμα τὸ πρόσφατον, καὶ ῥαφαῖς καὶ ἀγκτῆρσιν εἰώθαμεν αὐτὰ συνάγειν. οἱ μὲν οὖν κόλποι πάντες οὐχ ἁπλαῖ διαιρέσεις εἰσὶν, ἀλλ’ ἀναδέδαρται συχνὸν ἐν αὐτοῖς ἄλλοτε κατ’ ἄλλο μέρος, ὅπερ οὐδ’ αὐτὸ χρὴ λανθάνειν σε. πρὸς μὲν γὰρ τὴν ἄνω χώραν ἀνατεταμένου τοῦ κόλπου, ῥᾳδίως ἐκρεῖ διὰ τοῦ στόματος ὁ ἰχώρ.

11 128 κατάντους δ’ ὄντος αὐτοῦ, μένων ἔνδον ἀναβιβρώσκει τι τῶν συνεχῶν. ἐπὶ μὲν δὴ τῶν τοιούτων κόλπων, εἰ μὴ πρότερον εἰς ὑπόῤῥυσίν τινα ποιήσῃς τομὴν, οὐδὲν ἀνύσεις οὔτ’ ἐν τῷ σαρκοῦν αὐτοὺς οὔτ’ ἐν τῷ κολλᾷν. ἐπὶ δὲ τῶν ἄλλων οὐ δεήσει διαιρέσεως, ἐάν γε μόνον φυλάττῃς τὸ προσῆκον σχῆμα τῷ πεπονθότι μορίῳ, δι’ ὃ σχῆμα δυνήσῃ ποτὲ καὶ τὸν ἀνάῤῥοπον κόλπον ἐργάσασθαι κατάῤῥοπον καὶ τὸν κατάῤῥοπον ἀνάῤῥοπον. εἶδες γοῦν ἐμέ ποτε τὸν ἐν τῷ πήχει κόλπον, οὗ τὸ στόμιον ἦν ἐγγὺς τοῦ ἀγκῶνος, ἀναῤῥόπῳ σχήματι θεραπεύσαντα, χωρὶς ἀντιδιαιρέσεως. καὶ κατὰ μηρὸν δὲ ὁμοίως τοῦ καταῤῥόπου κόλπου, πρὸς μὲν τῷ γόνατι τὸ πέρας ἔχοντος, ὑψηλὸν δὲ τὸ στόμα τῆς μέσης κατὰ τὸν μηρὸν χώρας ἀνωτέρω, χωρὶς ἀντιδιαιρέσεως ἐθεάσω τὴν θεραπείαν γενομένην, ὑποτιθέντος μου κατὰ τὴν ἰγνύαν ὑπαυχένιον μαλακὸν ὡς ταπεινοτέραν ἔχειν τὴν θέσιν τὸν βουβῶνα τοῦ γόνατος. ἤρκεσε δὲ καὶ ἐπὶ τούτου τοῦ κόλπου καὶ ἑτέρων μειζόνων μελίκρατον μόνον ἐνεθὲν, ἐπιτήδειον εἰς κόλλησιν παρασχεῖν ἅπαν τὸ βάθος αὐτοῦ.

11 129 τινὲς μὲν δὴ κονίαν στακτὴν προσενίασιν, ἐξελέγχοντες ἑαυτοὺς ἐφ’ οἷς ἐνίεσαν ἔμπροσθεν φαρμάκοις ὑποσαρκοῦντες τὸν κόλπον. οὐ γὰρ οἷόν τε σάρκα νεωτέραν ἐπιτραφῆναι τῇ

πρότερον οὔσῃ ῥύπου περικειμένου. πῶς οὖν αὐτάρκως σεσαρκωμένου τοῦ κόλπου τὸ κολλητικὸν ἐπιφέρουσι φάρμακον, εἴπερ ὡς ἱκανῶς ὄντα ῥυπαρὸν ἐπιχειροῦσι διαῤῥύπτειν τῇ κονίᾳ τῆς καθαρᾶς σαρκὸς, οὐδὲ τὸ δριμὺ μελίκρατον φερούσης; ἐπὶ ταύτης μὲν οὖν ἀρκεῖ τὸ τοιοῦτον ἐνιέμενον, ὡς ἂν καὶ πίνοι τις ἡδέως αὐτό. καὶ μετά γε τὸ μελίκρατον ἐφεξῆς εἴωθα, πρὶν ἐπιθεῖναι τὸ κολλητικὸν φάρμακον, ἐκκλύζειν τὸν κόλπον ποτὲ μὲν οἴνῳ μόνῳ, ποτὲ δὲ οἰνομέλιτι. πρὸς μὲν γὰρ τὸ περιῤῥῦψαί τε καὶ ἀποκαθῆραι τοὺς περὶ αὐτὸν ἰχῶρας ἄμεινον τὸ μελίκρατον· εἰς δὲ τὴν μέλλουσαν κόλλησιν ὁ οἶνος. ἔστω δὲ μέσος γλυκύτητός τε καὶ στύψεως. καὶ μέντοι καὶ μετὰ τὴν ἐπίθεσιν τοῦ κολλήσοντος φαρμάκου σπόγγος καινὸς ἐξ οἰνομέλιτος μόνος περιβαλλέσθω μαλακὸς ὡς ἔνι μάλιστα· καὶ ἡ ἐπίδεσις ἀπὸ μὲν τοῦ πυθμένος ἀρχέσθω τοῦ κόλπου, τελευτάτω δὲ ἐπὶ τὸ στόμιον. αἱ δὲ περιβολαὶ τῶν ὀθονίων σφιγγέτωσαν μὲν ἀνωδύτως τὸν πυθμένα τοῦ κόλπου, κατὰ βραχὺ δ' ἐκλυέσθω ἄχρι τοῦ στομίου· καὶ τοῦτο δ' αὐτὸ χαλαρὰν ἐπίδεσιν ἐχέτω τοῦ φαρμάκου, τῆς περιβαλλομένης ἔξωθεν ἐμπλάστρου τῷ κόλπῳ διεψαλισμένης κατὰ τὸ τοῦ κόλπου στόμιον, ὡς ἐκρεῖν δύνασθαι εἴ τις ἰχώρ.

11 130 ἐκκρίνοιτο δὲ διὰ τοῦ κόλπου, μικροῦ τινος ἄλλου κατ' αὐτοῦ ἐπιτιθεμένου ἐμπλάστρου μέχρι τῆς ἐπιλύσεως, ἣν διὰ τρίτης ποιησάμενος ἀφαιρήσεις αὐτὸ τοῦτο τὸ οἷον ἐπίθεμα περικείμενον, ἐάσας τὸ καθόλου τοῦ κόλπου περιβεβλημένον φάρμακον. ἔστω δέ σοι διάγνωσις, εἰ κεκόλληται τὸ βάθος τοῦ κόλπου καλῶς, ἐκ τοῦ ῥέοντος ἰχῶρος, εἰ πολὺς ἢ ὀλίγος ἐστὶν ἢ πεπεμμένος ἢ ἄπεπτος· ἔτι δὲ καὶ κατ' αὐτὸν τὸν κόλπον, εἰ μήτ' ὀδύνη τις αἰσθητικὴ μήτ' ὄγκος· ἀλλὰ προσέσταλται τὸ χωρίον ἅπαν καὶ ξηρὸν καὶ ἀνώδυνόν ἐστιν. ἐὰν δὲ καὶ πῦον εὔπεπτον ἐπὶ τοῦ στόματος ἴδῃς ὀλίγον, ἔτι μᾶλλον τὰς ἐλπίδας ἀγαθὰς ἕξεις περὶ τοῦ κεκολλῆσθαι τὸν κόλπον. ἐπιθείς τε τὸν σπόγγον αὖθις, ἐπιδήσας τε πάλιν, ὡς εἴρηται, λῦε κατὰ τὴν ὑστεραίαν ἢ διὰ τρίτης ὑπαλλάττων ἀεὶ τὸ κατὰ τοῦ κόλπου στομίου ἐπικείμενον ὀθόνιον ἐκ τῆς αὐτῆς ἐμπλάστρου κεχρισμένον, ὃ περιλήψεται σύμπαν ἐν κύκλῳ τὸ στόμιον· εἶναι δ' αὐτὸ χρὴ μὴ πάνυ προστετυπωμένον, ἀλλ' ὥστε δύνασθαι τὸν ἰχῶρα τοῦ κόλπου πάντα κενοῦσθαι δι' αὐτοῦ.

11 131 κατὰ μὲν οὖν τὴν πρώτην τε καὶ δευτέραν ἡμέραν ἐὰν ἐκκρίνῃ ταύτης ἰχὼρ λεπτὸς ἐκ τοῦ κόλπου, μὴ πάνυ τῆς κολλήσεως ἀπέλπιζε. πολλάκις γὰρ ἡ τοῦ περιβαλλομένου φαρμάκου τῷ πεπονθότι μορίῳ δύναμις ἐκθλίβει σφοδρῶς ἔκ τε τοῦ δέρματος αὐτοῦ καὶ τῆς ὑποκειμένης σαρκὸς αὐτῷ ὑγρότητα λεπτὴν, ὅταν γε οὕτως ἔχῃ διαθέσεως τὸ τοῦ θεραπευομένου σῶμα διὰ φυσικὴν κρᾶσιν ἢ μοχθηρὰν δίαιταν. ἧς ἐκθλιβείσης συμμέτρως ξηρὰ γενόμενα τὰ χωρία κολλᾶται. κατὰ δὲ τὴν τρίτην ἡμέραν ἢ τετάρτην ἀπὸ τῆς ἀρχῆς, ἐὰν ἄπεπτος ἰχὼρ φαίνηται διὰ τοῦ στόματος, γίνωσκε μὴ κεκολλῆσθαι τὸν κόλπον. ἔστω δὲ πρὸ πάντων καὶ τὸ περιβαλλόμενον τῷ πεπονθότι μορίῳ φάρμακον ἰσχυρῶς μὲν ξηραῖνον, οὔτε δὲ δάκνον οὔτε συντεῖνον· οἷόν ἐστι τὸ ἡμέτερον κιῤῥὸν, ὃ χωρὶς κηροῦ σκευάζεται διὰ μεταλλικῶν φαρμάκων ἡψημένων καὶ ἐλαίου κικίνου καὶ ὄξους. ἐναίμων τε τραυμάτων κολλητικὸν ἀλύπως καὶ ξηραντικὸν κόλπων. εἶδες δ' αὐτῷ καὶ σύριγγα θεραπευθεῖσαν, ἐφ' ἧς στενῆς τ' οὔσης ὀπῆς καὶ μακρᾶς καὶ μηδέπω μοι φαινομένης ἔχειν ἔνδον ἐν αὐτῇ τύλον, ἀλλὰ μόνον ῥύπον, ἐν ᾗ καὶ πρότερον ἔκλυσα τὴν κονίαν, εἶτ' ἐπισχὼν ἐν τῇ σύριγγι μεῖναι τοσοῦτον χρόνον, ἐν ὅσῳ τὸν ῥύπον ἤλπισα τελέως ἐκπεσεῖν ἅπαντα, μετὰ ταῦτ' ἐπέθηκα τὸ φάρμακον.

11 132 οὕτω δὲ καὶ τοὺς ὑπ' αὐτῷ τῷ δέρματι μόνῳ κόλπους σαρκώσεως μὲν οὐ δεομένους, ἀμαθῶς δὲ θεραπευομένους ὑπό τινων, ἅμα τῷ παραλαβεῖν ἐκόλλησα τῷ φαρμάκῳ τῷδε προεκκλύσας τῇ κονίᾳ, διὰ τὸ μηδενὶ τῶν καθαιρόντων ἕλκους φαρμάκων χρῆσθαι τοὺς θεραπεύοντας. ὅταν γε μὴν τῶν εἰς ἀπόστασιν ἀφικνουμένων ὄγκων ἡ τομὴ γένηται βραδέως ἢ δι' ἀμαθίαν τῶν θεραπευόντων ἢ διὰ δειλίαν τῶν θεραπευομένων, οὐκ ἐπιτρεπόντων τεμεῖν, ἀλλὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιμεινάντων ἐν χρόνῳ πλείονι διαβρωθῆναι τὸ δέρμα πρὸς τοῦ πύου, συμβαίνει πολλάκις ἅπαν τὸ περὶ τῷ κατὰ τὴν ἀπόστασιν ἀθροισθέντι πύῳ δέρμα λεπτὸν ἱκανῶς γενέσθαι, καθάπερ τι ῥάκος· ὅθεν ἡγοῦμαι καὶ τοὔνομα αὐτῷ πρὸς τῶν ἰατρῶν τεθεῖσθαι τὸ ῥακῶδες. ἔστιν οὖν τὰ τοιαῦτα δέρματα δυσκόλλητα, καὶ μάλισθ’ ὅταν τις αὐτοῖς ἐπιβάλῃ ξηρὸν κατὰ τὴν σύστασιν φάρμακον· ὑπὸ τούτων γὰρ ἔτι μᾶλλον γίνεται ῥακῶδές τε καὶ ξηρὸν τὸ δέρμα, παραπλήσιον ταῖς τριβακαῖς διφθέραις.

11 133 ἔδοξεν οὖν μοι προσηκόντως ἄν τις χρήσασθαι πρὸς τὴν κόλλησιν αὐτοῦ τῇ συστάσει μὲν ὑγρῷ φαρμάκῳ, τῇ δυνάμει δὲ ξηρῷ. λέλεκται δ’ ἐν τοῖς περὶ φαρμάκων ὅτι δυνάμει ξηρὰ φάρμακα καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς ὅσα ξηραίνειν πέφυκε. κάλλιστον δὲ πάντων τῶν ὑγρῶν μὲν τῇ συστάσει, ξηρῶν δὲ τῇ δυνάμει τὸ συντεθὲν ὑπ’ ἐμοῦ φάρμακόν ἐστι, τὸ διὰ λιθαργύρου καὶ στέατος χοιρείου παλαιοῦ καὶ χαλκίτεως, ἐχόντων ἔλαιον παλαιότατον. ἄμεινον δ’ ἐνεργοῦντος ἐπειράθην αὐτοῦ κατὰ τὰς τοιαύτας διαθέσεις, ὅταν μὴ πάνυ τι σκληρὸν ᾖ μηδ’ ἀκριβῶς ἀμόλυντον. ἀλλὰ κἂν τοιοῦτον σκευασθῇ καὶ τῶν ἐναίμων μέν ἐστι τραυμάτων κολλητικὸν καὶ πάντων δὲ τῶν ἑλκῶν ἐπουλωτικὸν, ἀνιέμενόν τ’ ἐλαίῳ, κᾄπειτα μετ’ οἴνου μετρίως παλαιοῦ φυρώμενον, εἶτ’ ἐπιτιθέμενον ἐν κύκλῳ ταῖς τοιαύταις διαθέσεσιν, ἀλύπως αὐτὰς ἐκόλλησε πολλάκις. ἁρμόττει δ’, ὡς εἴρηται, ἐπὶ τῶν ῥακωδῶν δερμάτων οὐχ ἥκιστα καὶ τὸ μέλι μέχρι συστάσεως ἐμπλαστρώδους ἑψηθέν.

11 134 ἔστι δ’ ἡ συμμετρία τῆς ἑψήσεως αὐτοῦ δυσκατόρθωτος τῷ μὴ τεθεαμένῳ. χρὴ γὰρ αὐτὸ μήθ’ οὕτω γενέσθαι σκληρὸν, ὡς δυσπρόπτωτον εἶναι, μήθ’ οὕτως ὑγρὸν, ὡς περιῤῥεῖν. τὸ μὲν γὰρ σκληρὸν εἰς τὴν τοιαύτην ἀτοπίαν ἀφικνεῖται ταῖς σκληραῖς ἐμπλάστροις, τὸ δ’ ὑγρὸν, ὡσανεὶ ἐπικείμενον θερμῷ σώματι, περιῤῥεῖ κύκλῳ καὶ ξηρὰν ἀπολείπει τὴν ὀθόνην, ἥτις οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ πρὸς κακοῦ γίνεται τῷ κολληθησομένῳ δέρματι. συμμέτρως γε μὴν ἑψηθὲν τὸ μέλι κάλλιστόν ἐστι φάρμακον ἐπὶ τῶν τοιούτων κόλπων. ἐπεὶ δ’ ἡ συμμετρία τῆς ἑψήσεως αὐτοῦ δυστέκμαρτός ἐστιν, ἄμεινον ἔδοξέ μοι καταπάττειν αὐτῷ χνοώδη σμύρναν ἢ ἀλόην ἢ λιβανωτὸν ἤ τινα τούτων ἢ πάντα ὁμοῦ· καὶ μάλισθ’ ὅταν ἐπὶ τῆς ὀθόνης ἐγχρισθὲν ὑγρότερον φαίνηται. καταπάττειν δὲ αὐτὰ διὰ κοσκίνου, μετεώρου κρατουμένου κατὰ τοῦ μέλιτος. ἀρκεῖ δ’ ἅπαξ ἢ δὶς κροῦσαι αὐτὸ πρὸς τὴν συμμετρίαν τῆς διεκπτώσεως. ἐνίοτε δὲ καὶ κατ’ αὐτὴν τὴν ἕψησιν ἐμπάττω τι τῷ μέλιτι τῶν εἰρημένων φαρμάκων, καὶ μάλισθ’ ὅταν ὁ κόλπος ᾖ μείζων τε καὶ βαθύτερος.

11 135 ἐπειράθην δὲ καὶ τοῦ λεπτοῦ κενταυρίου, θαυμαστοῦ φαρμάκου πρὸς τὴν τοιαύτην χρείαν· ἐφεξῆς δ’ αὐτῷ σύμφυτον ἐπιτήδειόν ἐστι καὶ μετ’ αὐτὸ τῆς Ἰλλυρίδος ἴρεως ἡ ῥίζα, μεθ’ ἣν καὶ τὸ τῶν ὀρόβων ἄλευρον. εὔδηλον ὅτι κεκόφθαι τε καὶ διηθῆσθαι λεπτῷ κοσκίνῳ καὶ μετὰ ταῦτά γε λελειῶσθαι τὰ τοιαῦτα πάντα προσήκει. μιγνύσθω δὲ τῷ μέλιτι κατ’ ἐκεῖνον τὸν καιρὸν, ἡνίκ’ ἂν ἀπὸ τοῦ πυρὸς ἐξαίρεσθαι μέλλῃ, τοσοῦτον ἡμῶν ἐπιδιατριψάντων, ὡς ἑνωθῆναι καλῶς αὐτὰ τῷ προηψημένῳ μέλιτι. κάλλιον δὲ καὶ καθαιροῦντα τὴν κακάβην ἀπὸ τοῦ πυρὸς, ἐμπάττειν ἅπαντα τὰ τοιαῦτα, κᾄπειτα κινεῖν ἐπιμελῶς ἄχρις ἂν οὕτω γένηται τὸ μέλι χλιαρὸν, ὡς ἐπιτιθέναι δύνασθαι τῷ θεραπευσομένῳ σώματι. Ἐφεξῆς δ’ ἂν εἴη τοῖς εἰρημένοις εἰπεῖν σοί τι καὶ περὶ τῶν γαγγραινουμένων φλεγμονῶν. ὀνομάζουσι δ’, ὡς οἶσθα, γαγγραίνας τὰς διὰ μέγεθος φλεγμονῆς νεκρώσεις οὐκ ἤδη γεγενημένας, ἀλλὰ γινομένας ἔτι. τελέως μὲν γὰρ νεκρωθὲν μόριον ὡς νυττόμενον ἢ τεμνόμενον ἢ καιόμενον ἀναίσθητον ὑπάρχειν ὧν πάσχει, τάχιστα χρὴ περικόπτειν καθ’ ὃ ψαύει τοῦ πλησιάζοντος ὑγιοῦς.

11 136 ἀλλὰ τὸ μὲν οὕτω διατεθὲν μέλαν γίνεται, τὸ δ’ ἐν τῷ μεταξὺ καθεστηκὸς, ὡς ὁδοιπορεῖν ἐπὶ τὴν νέκρωσιν, γάγγραινα ὀνομάζεται. θεραπεία δ’ αὐτῆς γίνεται κενωσάντων ἡμῶν ὅσον οἷόν τε πλεῖστον τοῦ κατὰ τὸ πάσχον μόριον αἵματος ἐσφηνωμένου, δι’ ὃ καὶ ἡ νέκρωσις γίνεται, μὴ δυναμένων τῶν ἀρτηριῶν ὑπὸ στενοχωρίας διαστέλλεσθαι, τῷ δ’ ὑπολοίπῳ διαπνοὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρασχόντων. ἢ τοίνυν ὅλον τὸ δέρμα πολλαῖς βαθείαις τομαῖς διαιρεῖν χρὴ, τέμνοντας ἅμα αὐτῷ τὴν ὑποκειμένην οὐσίαν ἢ πολλαῖς ἀμυχαῖς βαθείαις ἀποσχάζειν, ἐάσαντα δ’ ἀποῤῥυῆναι τὸ αἷμα τῶν φαρμάκων ἐπιτιθέναι τι τῶν πρὸς τὰ σηπόμενα χρησίμων. ἔστι δὲ τοιαῦτα δι’ ὀξυμέλιτος καὶ ἀλεύρου ὀρόβων ἢ αἰρῶν, ἢ εἰ μὴ ταῦτα παρείη, τὸ τῶν κυάμων· αὐτό τε μόνον τὸ ὀξύμελι. σφοδροτέρῳ δὲ αὐτῷ χρῆσθαι βουλόμενος, ἁλῶν ἐπεμβάλλειν ἢ τῶν κυκλίσκων τινὰ λειοῦν ἀκριβῶς, οἷος ὁ Ἀνδρώνιός ἐστι καὶ ὁ Πολυείδου καὶ ὁ Πασίωνος. [15]

11 137 ἀλλὰ καὶ τὸ τοῦ Μούσα φάρμακον ἐπιτηδειότατόν ἐστιν εἰς ταῦτα, ὃ κατὰ τὸν Ἥρα γέγραπται τόμον. χρῶ δὲ τούτοις καὶ οἷς προείρηκα, προσέχων τὸν νοῦν τῷ σώματι τοῦ κάμνοντος. ἀγροίκου μὲν γὰρ ὄντος αὐτοῦ καὶ σκληροῦ φύσει, τῶν ἰσχυροτάτων δεῖται φαρμάκων τὸ σῶμα· γυναίου δὲ ἁπαλοσάρκου, τῶν ἀσθενεστέρων. οὕτω δὲ καὶ τῶν ἀνδρῶν ὅσοι λευκοί τε καὶ ἁπαλόσαρκοι καὶ φιλόλουτροι καὶ ἀγύμναστοι μαλακῶν δέονται φαρμάκων. δῆλον δ’ ὅτι καὶ τὰ παιδία. κᾂν ἐκτέμοις δέ ποτε τὸ σεσηπὸς καὶ νενεκρωμένον μέρος ἀσφαλείας ἕνεκα, τοῖς εἰρημένοις ἄρτι χρῶ φαρμάκοις, ἀποβλέπων εἰς τὰς τῶν νοσημάτων φύσεις, ἅμα τῷ καὶ τὴν αὐτοῦ τοῦ πεπονθότος μορίου φύσιν ἐπισκοπεῖν· τινὰ γὰρ τάχιστα σήπεται καὶ βέλτιον ἀσφαλείας ἕνεκα, ὅταν ἐκτέμῃς ἢ περιτέμῃς τὸ σεσηπὸς, τὴν οἷον ῥίζαν αὐτοῦ συνημμένην τοῖς ἀπαθέσι καίειν, ὡς ἐπὶ τῶν αἰδοίων εἰώθαμεν ἐργάζεσθαι πολλάκις, ἐνίοτε μὲν αὐτοῖς τοῖς πεπονθόσι μορίοις τὰ καυτήρια προσφέροντες, ἐνίοτε δὲ καὶ προϋποβάλλοντες μότον. [15]

11 138 μετά γε μὴν τὴν καῦσιν εἰώθαμεν, ὡς οἶσθα, χυλῷ πράσου χρῆσθαι, μὴ παρόντος δὲ τούτου, τοῖς προειρημένοις ὀλίγον ἔμπροσθεν. ὅταν δὲ φαίνηταί σοι τούτων γιγνομένων πεπαῦσθαι τὸ σηπόμενον, ὅπως ἀποπέσῃ θᾶττον ἡ ἐσχάρα, τῷ κεφαλικῷ καλουμένῳ φαρμάκῳ μετὰ μέλιτος χρῶ. κάλλιον καὶ καταπλάττειν ἔξωθεν ἢ δι’ ὑδρελαίου τὸν ἄρτον ἕψοντας ἢ κρίθινον ἄλευρον οὕτω σκευάζοντας, ἢ μετὰ αὐτοῦ μῖξαι πύρινον. καὶ μὴν καὶ τὸ τετραφάρμακον ὀνομαζόμενον, ἔτι τε τὸ μακεδονικὸν, ἐπιτήδεια πρὸς τὰς διαπυήσεις τε καὶ ἀποπτώσεις τῶν ἐσχαρῶν, ὁμοίως δὲ καὶ πάντα ὅσα διαπυΐσκει. καὶ ἄρτος δὲ μετὰ σελίνου λειωθεὶς ἢ ὠκίμου περιῤῥήσσει καὶ χωρίζει τὰς ἐσχάρας ἀπὸ τῶν ὑγιεινῶν. τῶν δ’ ἁπλῶν φαρμάκων μετὰ μέλιτος ἶρις ἢ ῥίζα πάνακος ἢ ἀριστολοχίας ἢ ἀκόρου. ἐπὶ δὲ τῶν μαλακῶν σωμάτων ἀρκεῖ καὶ τὸ τῶν ὀρόβων ἄλευρον μετὰ μέλιτος ἢ λιβανωτοῦ. ὁμοίως δὲ ἀφαιρεῖ τὰς ἐσχάρας καὶ τὸ τοῦ Μαχαιρίωνος φάρμακον καὶ ἡ Ἶσις ἔμμοτα μετὰ μέλιτος. ὅταν δὲ ἐκπέσωσιν αἱ ἐσχάραι, καὶ διὰ τῶν ἐπιτυχόντων φαρμάκων σαρκοῦνται τὰ τοιαῦτα τῶν ἑλκῶν. [15]

11 139 Ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται μετρίως, περὶ τῶν καρκινωδῶν ἑξῆς ἂν εἴη ὄγκων εἰπεῖν, γινομένων ἐν ἅπασι τοῖς μορίοις, μάλιστα δὲ τοῖς τιτθοῖς τῶν γυναικῶν, ὅσαι μηκέτι καθαίρονται τὴν κατὰ φύσιν κάθαρσιν· ἥτις ὅταν ὡς χρὴ γένηται, τελέως ἄνοσος ἡ γυνὴ διατελεῖ. πάντες οὖν οἱ τοιοῦτοι παρὰ φύσιν ὄγκοι τὴν γένεσιν ἐκ μελαγχολικοῦ περιττώματος ἴσχουσι, ὑπὲρ οὗ λέλεκται καὶ ἐν τοῖς κατὰ φυσικῶν δυνάμεων ὑπομνήμασι, γεννᾶσθαι μὲν ἡμῶν δειξάντων ἐν ἥπατι κατὰ τὴν ἐξαιμάτωσιν ἀνάλογον τῇ κατὰ τὸν οἶνον τρυγὶ, καθαίρεσθαι δὲ διὰ τοῦ σπληνός. ἐκ γὰρ τοῦ τοιούτου χυμοῦ τρέφεσθαι πέφυκεν. ὅταν οὖν ἡ φυσικὴ κρᾶσις τοῦ ζώου τὸν χυμὸν τοῦτον ὀλίγον ᾖ γεννῶσα καὶ ἡ δίαιτα συντελῇ καὶ ὁ σπλὴν ἀξιολόγως ἕλκῃ τὸ γεννώμενον εἰς ἑαυτὸν, οὐδὲν ἀθροίζεται κατὰ τὰς φλέβας τοιούτων περίττωμα. ὅταν δὲ τἀναντία ᾖ, ἀθροίζεται πολὺ κατὰ τὰς φλέβας καὶ ἐργάζεται τὰ λεχθησόμενα νοσήματα. [15]

11 140 λέγω δ’ ἐναντία τοῖς εἰρημένοις τὸ μὲν ἧπαρ εἰς γένεσιν ἐπιτήδειον τοῦ τοιούτου περιττώματος, τὴν δίαιταν δὲ διὰ τῶν τοιούτων ἐδεσμάτων γινομένην, ἃ πέφυκε γεννᾷν αἷμα παχὺ καὶ ἰλυῶδες· ἀσθενέστερον δὲ τὸν σπλῆνα φύσει καὶ ἀδυνατώτερον ἕλκειν ἐφ’ ἑαυτὸν ἅπαν τὸ γεννώμενον. ἐν δὲ τῷ τοιούτῳ σώματι θολοῦται καὶ παχύνεται τὸ κατὰ τὰς φλέβας αἷμα. καὶ ποτὲ μὲν ὑπ’ αὐτῶν τῶν φλεβῶν, ἐχουσῶν γε καὶ αὐτῶν ἀποκριτικὴν τῶν ἀλλοτρίων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δύναμιν, ὥσπερ καὶ τἄλλα πάντα δι’ αἱμοῤῥοΐδος ἐκκρίνεται· πολλάκις δὲ εἰς κιρσοὺς κατασκήπτει, καὶ ποτὲ εἰς τὸ δέρμα πᾶν ὠθεῖται, καὶ τοῦτό ἐστι γένεσις τοῦ πάθους, ὃ καλοῦσιν ἐλέφαντα. γίνεταί γε μὴν ἐνίοτε καὶ εἰς ἄλλα μόρια τοῦ σώματος, ἅπερ ἂν ᾖ πάντων ἀσθενέστατα, φορὰ τοῦ τοιούτου χυμοῦ, καὶ φαίνονταί γε σαφῶς αἱ κατὰ τὸ μόριον ἐκεῖνο φλέβες μεσταὶ αἵματος μέλανός τε καὶ παχέος. καὶ ὅσον δ’ ἂν ᾖ παχύτερόν τε καὶ μελάντερον, τοσοῦτον χεῖρόν ἐστι τὸ πάθος. ἐπὶ δὲ τῶν τιτθῶν εἴδομεν πολλάκις ἀκριβῶς ὄγκον ὅμοιον καρκίνῳ ζώῳ.

11 141 καθάπερ γὰρ ἐπ’ ἐκείνου πόδες ἑκατέρωθέν εἰσι τοῦ σώματος, οὕτω καὶ ἐπὶ τοῦδε τοῦ πάθους αἱ φλεβὲς ἀποτεταμέναι τοῦ παρὰ φύσιν ὄγκου τὸ σχῆμα καρκίνῳ παραπλήσιον ἐργάζονται. τοῦτο τὸ πάθος ἀρχόμενον μὲν ἰασάμεθα πολλάκις, εἰς μέγεθος δὲ ἀξιόλογον ἀρθὲν ἄνευ χειρουργίας οὐδεὶς ἰάσατο. πάσης μὲν οὖν χειρουργίας ἐκκοπτούσης ὄγκον παρὰ φύσιν ὁ σκοπός ἐστιν ἐν κύκλῳ πάντα τὸν ὄγκον περικόψαι, καθ’ ἃ τῷ κατὰ φύσιν ἔχοντι πλησιάζει. διὰ δὲ τὸ μεγέθος τῶν ἀγγείων, καὶ μάλισθ’ ὅταν ἀρτηρίαι τύχωσιν οὖσαι, παραχρῆμά τε κίνδυνος αἱμοῤῥαγίας γίνεται βρόχοις τε διαλαμβανόντων αὐτὰς συμπάθειαι ἕπονται. ἐὰν δὲ καὶ καῦσαι τὰς ῥίζας αὐτοῦ πάθους προελώμεθα, καὶ κατὰ τοῦτο κίνδυνος οὐ μικρὸς, ὅταν ἐγγὺς καιρίων μορίων ἡ καῦσις γένηται. ἀλλ’ ἀρχόμενον γεννᾶσθαι, καθάπερ ἔφην, ἰασάμεθα πολλάκις τὸ πάθος τοῦτο, καὶ μάλισθ’ ὅταν ὁ μελαγχολικὸς χυμὸς φαίνηται μὴ πάνυ παχὺς ὑπάρχων. ὑπακούει γὰρ οὗτος τοῖς καθαίρουσι φαρμάκοις ἑτοίμως, δι’ ὧν ἡ θεραπεία γίνεται. πρόδηλον δ’ ὅτι μελάνων εἶναι χρὴ κενωτικὰ τὰ διδόμενα φάρμακα, καὶ τοῦτο συνεχῶς ποιητέον, ἄχρις ἂν εἰς τὸ κατὰ φύσιν ἀκριβῶς ἐπανέλθοι τὸ μόριον, οὔσης καὶ τῆς διαίτης εὐχύμου.

11 142 κατὰ γοῦν τὴν Ἀλεξάνδρειαν ἐλεφαντιῶσι πάμπολλοι διά τε τὴν δίαιταν καὶ τὴν θερμότητα τοῦ χωρίου. κατὰ δὲ τὰς Γερμανίας τε καὶ Μυσίας σπανιώτατα τοῦτο τὸ πάθος ὦπται γινόμενον. καὶ παρά γε τοῖς γαλακτοπόταις Σκύθαις σχεδὸν οὐδέποτε φαίνεται γινόμενον. ἀλλ’ ἐν Ἀλεξανδρείᾳ παμπόλλη ἡ γένεσις αὐτοῦ διὰ τὴν δίαιτάν ἐστιν· ἀθάραν γὰρ ἐσθίουσι καὶ φακὴν καὶ κοχλίας καὶ ταρίχη πολλά· τινὲς δὲ καὶ ὄνεια κρέα καὶ ἄλλα τοιαῦτα παχὺν καὶ μελαγχολικὸν γεννῶντα χυμόν. ἅτε δὲ θερμοῦ τοῦ περιέχοντος ὄντος καὶ ἡ ῥοπὴ τῆς φορᾶς αὐτῶν πρὸς τὸ δέρμα γίνεται. τούτῳ μὲν οὖν τῷ πάθει συμφέρουσιν αἱ εἰρημέναι καθάρσεις. ἐὰν δὲ τὰ τῆς ἡλικίας καὶ τὰ τῆς δυνάμεως ἐπιτρέπῃ, φλεβοτομεῖν πρότερον. ἐπὶ δὲ τῶν καρκίνων οὐκ ἀνάρμοστον μὲν οὐδ’ ἐπὶ τούτων, ἢν μηδὲν κωλύῃ, φλεβοτομεῖν· ἐφεξῆς δὲ καθαίρειν· καὶ εἰ μὲν γυναῖκες εἶεν, ἔμμηνα κινεῖν αὐταῖς, ἐάν γε δηλονότι μηδέπω πεντηκοστὸν ἔτος ἄγωσι.

11 143 κατὰ δὲ τοῦ πεπονθότος μορίου χυλὸς ἐπικείσθω στρύχνου, κάλλιστον γὰρ τοῦτο φάρμακον εἰς τὰ τοιαῦτα. μὴ βουλομένου δὲ τοῦ θεραπευομένου φάρμακον οὕτως ὑγρὸν ἐπιβαλέσθαι, καὶ μάλισθ’ ὅταν προέρχεσθαί τε τῆς οἰκίας καὶ τὰ συνήθη πράττειν ἀναγκάζηται, τὸ διὰ πομφόλυγος ἐπιβλητέον, ᾧ καὶ πρὸς τοὺς ἡλκωμένους καρκίνους οἶσθα χρώμενόν με· καὶ τούτου μὴ παρόντος τῷ διὰ χαλκίτεως ἡμετέρῳ φαρμάκῳ. κατὰ δὲ τὴν δίαιταν ἐν χυλῷ πτισάνης πλεοναστέον καὶ γάλακτος ὀῤῥῷ καὶ λαχάνοις, μαλάχῃ καὶ ἀτραφάξει καὶ βλίτῳ, καὶ κατὰ καιρὸν ἐν ᾧ εἰσιν αἱ κολοκύνθαι, ταύταις χρηστέον. ἰχθύων δὲ τοῖς πετραίοις καὶ ὄρνισι πᾶσι, πλὴν ἑλείων. ἐπὶ δὲ τῶν ἐλεφαντιώντων ἡ τῶν ἐχιδνῶν ἐδωδὴ θαυμάσιόν ἐστι φάρμακον. χρὴ δὲ ἐσθίειν αὐτὰς οὕτω σκευάζοντας ὡς τοὺς θηριοτρόφους καὶ ἀσπιδοτρόφους Μάρσους ἐθεάσω, πρῶτον μὲν ἀποκοπτομένης τῆς οὐρᾶς καὶ τῆς κεφαλῆς ἄχρι δακτύλων τεττάρων, εἶτα τῶν ἔνδον ἁπάντων ἀφαιρεθέντων καὶ τοῦ δέρματος δηλονότι, εἶθ’ ὕδατι τοῦ σώματος αὐτῶν περιπλυθέντος.

11 144

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ μέχρι μὲν τοῦδε, κᾀπειδὰν τὴν θηριακὴν ἀντίδοτον καλουμένην σκευάζωμεν, οὕτω πράττομεν· ἐφεξῆς δὲ διαφερόντως ἕψομεν, ἐπὶ μὲν τῆς θηριακῆς ἐν ὕδατι προσεπεμβάλλοντες ἀνήθου καὶ βραχέων ἁλῶν, ἐπὶ δὲ τῶν ἐλεφαντιώντων ἐν λοπάσι παραπλησίως ταῖς ἐγχέλυσι σκευάζοντες διὰ λευκοῦ ζωμοῦ. γίνεται δὲ οὕτως. ὕδατος μὲν δαψιλοῦς ἐμβληθέντος καὶ ἐλαίου βραχέος καὶ σὺν αὐτῷ πράσου καὶ ἀνήθου. πρόδηλον δ’ ὅτι μέχρι τοσούτου τὰς σάρκας τῶν ἐχιδνῶν ἀφεψεῖν προσήκει, μέχρις ἂν ἀκριβῶς γενηθῶσι μαλακαί. καὶ αὐτὸ δὲ τὸ δι’ αὐτῶν σκευαζόμενον φάρμακον, ὃ καλοῦσι θηριακὴν ἀντίδοτον, ἐπιτήδειόν ἐστι πίνεσθαι τοῖς οὕτω κάμνουσι, καὶ εἰ βούλοιτό τις αὐτοῦ καὶ τὸ δέρμα χρίεσθαι. ταῦτα γὰρ ἅπαντα ποιούντων ἔσθ’ ὅτε λεπὶς ἀφίσταται τοῦ δέρματος, ὁποῖον ἐπὶ τῶν ὄφεων τὸ καλούμενον γῆρας. Τῶν δ’ ἄλλων ὄγκων τῶν παρὰ φύσιν οὐδενὸς μὲν ἠξίωσά σοι γραφῆναι χειρουργίαν· ἔλαβες γὰρ δοκιμώτατα τῶν παρ’ ἡμῖν φαρμάκων. [15]

11 145 ἐπὶ μὲν χοιράδων τά τε προστέλλειν καὶ ξηραίνειν δυνάμενα καὶ διαπυΐσκειν. ἐπὶ δὲ μελικηρίδων ὅσα καὶ ταύτας διαφορεῖ καὶ πύου διαφορητικὰ φάρμακα καὶ ὕδατος ἐν ὀσχέῳ τε καὶ κατ’ ἐπιγάστριον ἔλαβες, ὡς κᾀπὶ τῶν ὑδερικῶν κεχρῆσθαι. διττὸς γὰρ καὶ τούτων ὁ σκοπὸς, ἰᾶσθαί τε τοῦ σπλάγχνου τὸν σκίῤῥον καὶ διαφορῆσαι τὸ συνειλεγμένον ὑγρόν. εἴρηται δ’ ἔμπροσθεν ἡ τῶν σκιῤῥουμένων σπλάγχνων θεραπεία. ὥστε καὶ ἡ τῶν ὑδέρων ἴασις εἰς τρεῖς τούτους ἀνάγεται σκοποὺς, ἰᾶσθαι τοῦ σκιῤῥουμένου σπλάγχνου τὸν σκίῤῥον, ἐπιθέμασί τε καὶ διαφοροῦσι τὴν ὑγρότητα χρῆσθαι· φάρμακά τε πίνειν διουρητικά. ταῦτα μὲν οὖν εἰς ἀποδημίαν σοι μακρὰν στελλομένῳ νομίζω συμμέτρως ἔχειν. ἐὰν δὲ, ὡς προείρηται, καὶ τὴν ἐπὶ τῶν κατὰ γένος καὶ τόπους πεπονθότας φαρμάκων πραγματείαν ποιήσωμαι, κᾀκείνην ἕξεις ἐπανελθὼν ἐκ τῆς ἀποδημίας. ἔστι δὲ καὶ ἄλλη μεγάλη πραγματεία τῶν ἑταίρων ἀξιωσάντων ἁπάσης τῆς θεραπευτικῆς μεθόδου. [15]

11 146 κατεχομένῳ δ’ ἐπὶ πλέον ἔξω σοὶ πέμπειν οὐκ ὀκνήσω τῶν γραφομένων ἡμῖν ὑπομνημάτων ἕκαστον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org